1. τε καὶ] M. S; reliqui τε om. — 2. ἀπολάβοι] Mds. cf. p. 124 et 226; vulgo ἀπολαύοι. Gudius autem in Cod. Med. repperit ἀπολαύσοι. Quod recepimus ἀπολάβοι etiam in Cod. Monac. 113 fol. 22. b. reperiri testatur Alb. Jahnius ad Joann. Glycae lib. de vera synt. ratione p. 80. — 3. ὁ Πλάτωνος Τίμαιος ἀκριβὴς διδάσκαλος] Verba ὑγιής τε καὶ ὁλόκληρος γενόμενος εἰς τὸ τῆς προτέρας ἀφίκοιτο εἶδος ἕξεως Platonis sunt Tim. p. 42 et 44. Curterius in ora libri repperit ὑγιής τις ut infra p. 226. — 4. Πυθαγορείων] G; Πυθαγορίων M. — 6. γε τὰ] Curter; γε M. — 6. πρακτικῆς ἀρετῆς] M. et Curter; ἀρ. πρ. G. — 7. γὰρ M. G; om. S. — 7. τάξαι] Salmasius in animadvers. ad Epictet. p. 15 pro τάξαι legi vult ἀποτάξαι quod exponit *abjicere*. Sed fallitur; neque enim philosophiae est, animi affectus abolere prorsus et abjicere, sed moderari tantum et in ordinem cogere atque ad rationis normam dirigere, quod proprie τάξαι dicitur. Quamobrem Salmasii conjecturam, quae Needhamio propter Aurispae interpretationem: *primum enim ignorantia nos purgare oportet et desidia* scrupulum injecerat, jure improbavit Ashtonus. — 8. τῶν θείων] Ita cod. Med. sed S et reliqui θειοτέρων. In sequentibus verba μὴ καθαρῷ γὰρ — ᾖ Platonis sunt in Phaedone quae repetuntur infra. cf. adn. ad p. 222. Eadem exstant apud Synes. Dione p. 50. A. et Epist. p. 32 et 86. Plutarch. de Is. et Os. p. 352. D. Clem. Al. Strom. V p. 555. C. Theodoret. Θ. Π. I. p. 15. Aeneam Gaz. Theophrast. fin. p. 83. — 9. φωτεινὰ] Codd G; Curter. male φωτινά. — 10. οὕτω M. et G; οὕτως Curter. — 11. ἐνοπτρίσασθαι] Codd. Gall.; in M. Salvinius ἐνοπτρίζεσθαι repperit, Gud. vulg. lect.; ἐνοπτρίζειν S. — 11. ἀμήχανον] G. M. R et Aurispa vertens: pulchritudinem veritatis conspicere nequit; vulgo haec vox desideratur. Caeterum locus sic scribitur in Cod. Med. οὕτω καὶ ψυχὴ μὴ ἀρετὴν κεκτημένη τὸ τῆς ἀληθείας τοῦ θείου κάλλος ἀμήχανον ἐνοπτρίσασθαι. — 11. μὴ] Codd. et edd; om. M. — 12. μὴ] Codd. et edd. om. S. — 12. ἔστι δὲ ἡ μὲν] G; ἔτι δὲ τὴν M. — 13. ἀρετῆς] G; ἀρετὴ Curter. — 13. ἀληθείας δὲ ἡ θεωρητικὴ] Verba δὲ ἡ θεωρητικὴ, quae in omnibus prope edd. desunt,

ἐν αὐτοῖς τοῖς ἔπεσι τὴν μὲν πρακτικὴν φιλοσοφίαν ἀνθρωπίνην ἀρετὴν εὑρίσκομεν λεγομένην, τὴν δὲ θεωρητικὴν θείαν ἀρετὴν ὑμνουμένην, ἐν οἷς συμπεράνας ὁ λόγος τὰ τῆς πολιτικῆς ἀρετῆς παραγγέλματα,

ταῦτα πόνει (φησί), ταῦτ' ἐκμελέτα· τούτων χρὴ ἐρᾶν σε,
ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει.

Πρῶτον οὖν ἄνθρωπον δεῖ γενέσθαι, καὶ τότε θεόν. ἄνθρωπον δὲ ποιοῦσιν ἀγαθὸν αἱ πολιτικαὶ ἀρεταί· θεοποιοῦσι δὲ αἱ πρὸς τὴν θείαν ἀρετὴν ἀνάγουσαι ἐπιστῆμαι. Τὰ δὲ μικρὰ πρὸ τῶν μεγάλων ἐστὶν ἐν τάξει τοῖς ἀνιοῦσι· διὸ καὶ ἐν ταῖς Πυθαγορικαῖς ὑποθήκαις τὰ τῶν ἀρετῶν παραγγέλματα πρῶτα παραδίδωσιν ἐν τοῖς ἔπεσιν ὁ λόγος, παιδαγωγῶν ἡμᾶς ἀπὸ τῆς τῶν περὶ τὸν βίον ἀρίστης χρήσεως πρὸς τὴν θείαν ὁμοίωσιν ἀνιέναι. Καὶ οὗτος μὲν ὁ σκοπὸς τῶν ἐπῶν καὶ ἡ τάξις, χαρακτῆρα φιλόσοφον πρὸ τῶν ἄλλων ἀναγνωσμάτων ἐκθεῖναι τοῖς ἀκροαταῖς. Χρυσᾶ δὲ τὴν ἐπωνυμίαν ἔσχε, διὰ τὸ, ὡς ἐν ἔπεσιν, ἄριστα pag. 12.
εἶναι καὶ θεῖα. Οὕτω γὰρ καὶ χρυσοῦν γένος λέγομεν τὸ ἐν τοῖς ἀνθρωπίνοις γένεσιν ἄριστον, ἀπὸ τῆς τῶν ὑλῶν ἀναλογίας τὴν τῶν ἠθῶν διαφορὰν λαμβάνοντες. Ἔστι δὲ καὶ ὁ χρυσὸς ἀκίβδηλόν τι καὶ γῆς οὐκ ἀναπεπλησμένον, ὥσπερ τὰ συγγενῆ

exstant in codd. quos Renaudotus Dacerii in usum contulit. Accedit cod. Venet. cujus scripturam exprimit Aurispa, vertens: *inspectiva vero veritatem.* Non aliter legendum conjecit Curterius eandemque lectionem codd. auctoritate primus munivit Ashtonus, spreta Bentleji conjectura ἔστι δὲ ἡ π. φ. ἀρετῆς πολιτικῆς· ἡ δ' ἄλλη θείας. Caeterum S habet ἡ δὲ θεωρητικὴ ἀληθείας. — 6. θείης] G; θείας M. — 7. Curterius conj. ἄνθρωπον ἀγαθόν. At similiter Isidorus quoque ap. Damascium πρῶτον ἀνθρώπους γενέσθαι τοὺς ἐσομένους θεοὺς δεῖ. Phot. Cod. 242. — 11. παραδίδωσιν] G; δίδωσιν M. — 12. ἀπὸ τῆς τῶν περὶ τὸν βίον ἀρίστης χρήσεως] sic legendum ex Aurispae interpretatione *ab optimo in hac vita vivendi usu.* Needhamius minus recte: ἀπὸ τῆς περὶ τ. β. ἀ. χ. Cod. S. et Med. habet ἀπὸ τῆς περὶ τὸν βίον ἀρετῆς χρήσεως, quod Salvinium secuti probarunt Dacerius, Ashtonus, Gaisfordius. — 15. ἐκθεῖναι] legi vult Mericus Casaubonus, probatum superioribus editoribus; Curterius ἐνθεῖναι edidit, quod minus convenit magistro et praeceptis, sed tamen in Cod. S et caet. invenitur. — 16. Ita S et codd. Gall. pro ἔσχι quod est in edd. prior. Curterius in margine posuit ἴσχει; Davisius ἐστὶ conjecit. — 16. ἐν] G. et Curter; S. M. om. — 17. καὶ G. et Curter; M. om. — 19. τὴν τῶν ἠθῶν διαφορὰν] Sic Cod. Med; S. cum reliquis τὴν διαφορὰν τῶν ἠθῶν. — 19. ἔστι δὲ] G; sed S. et Med. habent ἔστι γάρ.

καὶ ἐφεξῆς ὄντα τούτῳ, οἷον ἄργυρος, καὶ χαλκὸς καὶ σίδηρος· πρὸς ἃ καὶ τὸ ὑπερέχον φύσει κέκτηται ὁ χρυσός, μόνος τῶν ἄλλων ἰὸν οὐ ποιῶν, ἐκείνων ἑκάστου, καθ' ὅσον γῆς μετέχει, κατὰ τοσοῦτον καὶ εἰς ἰὸν μεταβάλλοντος. Τοῦ οὖν γεώδους ἰοῦ κατὰ τὴν ἔνυλον κακίαν λαμβανομένου, τὸ ἅγιον καὶ καθαρὸν γένος καὶ τὸ πάντη καθαρεῦον πονηρίας ἦθος εἰκότως χρυσοῦν ἐλέχθη· οὕτω δὴ καὶ ταῦτα τὰ ἔπη, ὅλα δι' ὅλου ὄντα καλά, χρυσᾶ καὶ θεῖα τὴν ἐπίκλησιν ἀναγέγραπται. Οὐ γάρ ἐστι τὸ μὲν αὐτῶν καλόν, τὸ δὲ οὐ καλόν, ὥσπερ ἔνια τῶν ἄλλων, ἀλλὰ πάντα ὁμοίως τὸ καθαρὸν ἦθος ἐμφαίνει καὶ πρὸς τὴν θείαν ὁμοίωσιν ἀνάγει, καὶ τῆς Πυθαγορικῆς φιλοσοφίας τὸν τελειότατον σκοπὸν ἐκκαλύπτει, ὡς ἐν τῇ καθ' ἕκαστον ἐξηγήσει σαφὲς γενήσεται. καὶ πρῶτον μὲν ἀπὸ τῶν πρώτων ἀρξώμεθα.

I. 1.

pag. 14. Ἀθανάτους μὲν πρῶτα θεούς, νόμῳ ὡς διάκεινται, τίμα·

Ἐπειδὴ πασῶν τῶν ἀρετῶν ἡγεμών ἐστιν ἡ εὐσέβεια, πρὸς τὴν θείαν αἰτίαν τὴν ἀναφορὰν ἔχουσα, εἰκότως καὶ τῶν ἐν τοῖς ἔπεσι νόμων τὸ περὶ ταύτης ἡγεῖται παράγγελμα· ὡς δεῖ τοὺς ἐγκοσμίους θεούς, κατὰ τὴν ἐνυπάρχουσαν αὐτοῖς τάξιν, τιμᾶν, ἣν ὁ δημιουργικὸς νόμος ἅμα τῇ οὐσίᾳ αὐτῶν συμπροήγαγε,

2. μόνος] G; μόνος γὰρ M. — 3. ποιῶν] G; ποιεῖ M. — 7. ταῦτα τὰ ἔπη] M. et Aurisp. *sic quoque et hi versus*; Curter. πάντα τὰ ἔπη. — 7. δι' ὅλου] M; δι' ὅλων G. et Curter. — 11. ἀνάγει] M; ἐνάγει G. — 13. μὲν] G; γε Curter. et reliqui editores. — 15. ἀθανάτους] In codd. Gall. interponitur hic inscriptio Ἱεροκλέους ἐξήγησις εἰς τὰ τοῦ Πυθαγόρου ἔπη ἀναγκαία. In margine autem legitur ἐξήγησις ὠφελὴς τῶν Πυθαγορείων ἐπῶν. — 17. ἐστιν] G; M. om. — 18. τῶν] G; M. om. — 19. δεῖ] M; δέοι G. — 20. ἐγκόσμιοι θεοὶ sunt τὰ τρία τῶν λογικῶν γένη, quae in carmine memorantur, ἀθάνατοι θεοί, ἥρωες et καταχθόνιοι δαίμονες. Caeterum immortales et coelestes dii, quos πρῶτον γένος τῶν λογικῶν et ἐγκοσμίων πρώτους saepenumero scriptor vocat, habentur stellae in ἀπλανῶν sphaera et planetae in inferioribus septem sphaeris collocati, quum coelestia corpora mente et ratione praedita atque adeo diis adnumeranda esse Pythagorici et Platonici statuerent. Pythagoras teste Laertio VIII, 27 dixit ἥλιον καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστέρας εἶναι θεούς. Quocirca Proclus in Plat. Tim. p. 319 (p. 774 ed. Schneider) hos appellat ἀστρῴους θεούς. — 21. δημιουργικὸς νόμος] Codd. omnes praeter M, qui exhibet

τάξας αὐτῶν τοὺς μὲν ἐπὶ τῆς πρώτης σφαίρας, τοὺς δὲ ἐπὶ τῆς δευτέρας, καὶ ἐπὶ τῆς τρίτης ἄλλους, καὶ οὕτως ἐφεξῆς, μέχρι τῆς πάσης τῶν οὐρανίων κύκλων συμπληρώσεως. Τὸ γάρ, ᾗ ἐτάχθησαν ὑπὸ τοῦ δημιουργοῦ αὐτῶν καὶ πατρός, ταύτῃ αὐτοὺς ἐγνωκέναι τε καὶ τιμᾶν, τῷ θείῳ νόμῳ κατακολουθούντων ἐστὶ καὶ τὴν ὄντως τιμὴν αὐτοῖς ἀποδιδόντων· καὶ τὸ μήτε ὑπεραίρειν τὴν ἀξίαν μήτε ἀπολείπεσθαι ταύτης ἐν ταῖς περὶ αὐτῶν ἐννοίαις, ἀλλὰ τοῦτο αὐτοὺς εἶναι τίθεσθαι, ὃ γεγόνασι, καὶ ταύτην ἔχειν τὴν τάξιν ἣν εἰλήχασιν, ἐπὶ τὸν δημιουργὸν αὐτῶν θεὸν ἀναφέρει τὸ σέβας, ὃν καὶ θεὸν θεῶν κυρίως ἂν εἴποι τις καὶ θεὸν ὕπατον καὶ ἄριστον. Τὴν δὲ ὄντως ἀξίαν τοῦ κοσμοποιοῦ καὶ ἀριστοτέχνα θεοῦ μόνως ἂν ἐξεύροιμεν, εἰ καὶ θεῶν αἴτιον αὐτὸν καὶ ἀτρέπτων λογικῶν οὐσιῶν ποιητὴν θησόμεθα. Τούτους γὰρ νῦν ἀθανάτους θεοὺς ὠνόμασεν ὁ λόγος τοὺς ἀεὶ καὶ ὡσαύτως νοοῦντας τὸν δημιουργὸν θεόν, καὶ ἀεὶ πρὸς τὸ ἐκείνου ἀγαθὸν συντεταμένους, καὶ ἀπ᾽ ἐκείνου τὸ εἶναι καὶ τὸ

δημιουργικὸς λόγος. cf. Plat. Epinom. p. 986. C. In libris Gall. exstat vitiose δημιουργινὸς pro δημιουργικὸς, ut paulo inferius. Cf. Bastii Comment. Palaeogr. in Schaef. editione Greg. Cor. p. 726. — 4. δημιουργοῦ] M; ποιητοῦ G. — 4. καὶ] G; M. om. — 5. νόμῳ] G; M. om. — 5. κατακολουθούντων Codd.; temere Curter. hanc lectionem in κατακολουθεῖν et mox ἀποδιδόντων in ἀποδιδόναι mutari voluit. — 6. τὸ μήτε] M. et G; vulgo deest articulus. — 8. ἀλλὰ τοῦτο] S; ἀλλὰ καὶ τοῦτο reliqui. — 9. ἐπὶ τὸν δημιουργὸν αὐτῶν θεὸν ἀναφέρει τὸ σέβας] Cod. Med.; vulgo ἐπὶ τὸν δημιουργικὸν μόνον αὐτῶν θεὸν ἀναφέρειν; Codd. Gall. ἐπὶ τὸν δημιουργινὸν μόνον — ἀναφέρειν. — 10. καὶ] M. et G; vulgo deest. — 10. θεὸν θεῶν] M. G; θεῶν θεὸν S. — 10. κυρίως] G; M. om. — 11. θεὸν ὕπατον] M. et G. Falso ait Ashtonus in cod. Med. legi θεῶν ὕπατον, quod loquendi genus e carminibus Homericis ductum est. Nam Il. τ, 258; ψ, 43 et alibi invenitur θεῶν ὕπατος καὶ ἄριστος. — 11. ἄριστον] M; ἄῤῥυπον G. — 11. δὲ] M; δὴ G. — 12. ἀριστοτέχνα θεοῦ] S; ἀριστοτέχνου θεοῦ reliqui. Pindarica locutio teste Plutarcho de ser. num. vind. Πίνδαρος ἀριστοτέχναν ἀνακαλεῖ τὸν κύριον ἁπάντων θεόν. Sic et Clemens Alex. Strom. V Πίνδαρος, Πυθαγόρειος ὤν, τὸν τούτων δημιουργὸν τὸν ἀριστοτέχναν πατέρα λέγει. Vid. Wyttenbach. ad Plutarch. II p. 550 A. et Alb. Jahn. ad Jo. Glyc. de synt. p. 61 et 117. — 14. τοὺς ἀεὶ καὶ ὡσαύτως νοοῦντας] astra et planetae semper dei cognitionem retinere dicuntur propterea quod stabilem et eundem in coelo cursum perpetuo conficiunt. — 15. ὡσαύτως M. G; ὡς αὔτως S. et sic infra. — 16. συντεταμένους] Emendavit Mer. Casaubonus; συντεταγμένους S. G. M. C. — 16. ἐκείνου τὸ εἶναι, καὶ τὸ εὖ εἶναι ἀμερίστως] Codd. G et A; S. om.

εὖ εἶναι ἀμερίστως καὶ ἀτρέπτως λαμβάνοντας, ὡς τῆς δημιουρ-
pag. 16. γικῆς αἰτίας αὐτοὺς ὄντας εἰκόνας ἀπαθεῖς καὶ ἀκακύντους. Πρέπει γὰρ τῷ θεῷ καὶ τοιαύτας ὑποστῆσαι ἑαυτοῦ εἰκόνας, καὶ μὴ πάσας τρεπτὰς καὶ ἐμπαθεῖς τῇ εἰς κακίαν ὑποφορᾷ, οἷαί εἰσιν αἱ ἀνθρώπιναι ψυχαί, τῶν λογικῶν φύσεων τὸ ἔσχατον οὖσαι γένος, ὥσπερ αὖ ἀκρότατον ἦν νῦν τὸ τῶν ἀθανάτων θεῶν λεγόμενον γένος. Καὶ μήποτε πρὸς ἀντιδιαστολὴν τῶν ἀνθρωπίνων ψυχῶν ἀθάνατοι θεοὶ οὗτοι ἐκλήθησαν, ὡς μὴ ἀποθνήσκοντες τὴν θείαν εὐζωίαν, μηδὲ ἐν λήθῃ ποτὲ γιγνόμενοι μήτε τῆς ἑαυτῶν οὐσίας μήτε τῆς τοῦ πατρὸς ἀγαθότητος. Τούτοις δὲ ἡ ἀνθρωπίνη ψυχὴ τοῖς πάθεσιν ὑπόκειται, ποτὲ μὲν νοοῦσα τὸν θεὸν καὶ τὴν ἑαυτῆς ἀξίαν ἀπολαμβάνουσα, ποτὲ δὲ τούτων ἀποπίπτουσα. Διὸ καὶ εἰκότως θεοὶ θνητοὶ λέγοιντο ἂν αἱ ἀνθρώπιναι ψυχαί, ὡς ἀποθνήσκουσαί ποτε τὴν θείαν εὐζωΐαν τῇ ἀπὸ θεοῦ φυγῇ, καὶ ἀναβιωσκόμεναι αὐτὴν πάλιν τῇ πρὸς θεὸν ἐπιστροφῇ, καὶ οὕτω μὲν ζῶσαι τὸν θεῖον βίον, ἐκείνως δὲ ἀποθνήσκουσαι, (ὡς οἷόν τε ἀθανάτῳ οὐσίᾳ θανάτου μοίρας μεταλαχεῖν,) οὐ τῇ εἰς τὸ μὴ εἶναι ἐκβάσει, ἀλλὰ τῇ τοῦ εὖ εἶναι ἀποπτώσει. Θάνατος γὰρ λογικῆς οὐσίας ἀθεία καὶ ἄνοια, οἷς ἕπεται καὶ ἡ περὶ τὸν βίον ἄμετρος τῶν παθῶν ἐπανάστασις. Ἐν γὰρ τῇ ἀγνοίᾳ τῶν κρειττόνων ἀνάγκη δουλεύειν τοῖς χεί-

τὸ ante εὖ; vulgo ἐκείνου τὸ εἶναι ἀμερίστως; M. autem pro ἀμερίστως habet ἀμέμπτως. — 1. ὡς] G; M. om.; S. habet ϛ' i. e. ὡς. Vid. Ducang. Glossar. Append. pag. 13. — 2. αὐτοὺς ὄντας εἰκόνας] M. G; εἰκόνας αὐτοὺς ὄντας. S. — 4. ὑποφορᾷ] G; ἀποφορᾷ M. — 6. νῦν τὸ] ἴσ. τὸ νῦν Holsten. — 7. μήποτε] G. Mh. Vat. *fortasse*. Cf. Thesaur. Parisiensem pag. 1008; M. habet πρὸς γὰρ ἀντιδιαστολήν; Curt. καὶ μήτε πρός: S. καὶ μὴ πρός. — 13. θεοὶ θνητοὶ] Ut hominum animos hic θεοὺς θνητοὺς vocat: ita lib. VII de providentia ap. Photium cod. 214 eosdem de Platonis sententia ἀθανάτους ἀνθρώπους nominat haud secus atque Heraclitus apud Maximum Tyrium diss. X p. 175 ed. Reisk. ἄνθρωποι, inquit, θεοὶ θνητοί, θεοί τ' ἄνθρωποι ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον, θνήσκοντες τὴν ἐκείνων ζωήν. Caeterum S. exhibet θνητοὶ θεοί, M G C θεοὶ θνητοί. — 13. ἂν αἱ ἀνθρώπιναι] G; αἱ ἀνθρ. omisso ἂν M; ἂν ἀνθρώπιναι omisso αἱ Curter. — 15. ἀπὸ θεοῦ φυγῇ] G; θεοῦ ἀποφυγῇ M. — 15. αὐτὴν G; M. om. — 19. ἄνοια] Codd. recte; A. *ignorantia*. Hic igitur ἄγνοια legebat, quemadmodum Mer. Casaubonus et Dacerius scribi voluerant. At hac mutatione opus non est. — 19. οἷς] Ita codd; non male, quamquam fieri potest, ut Hierocles scripserit αἷς.

ρουσιν· ὧν ἐλευθεριάσαι ἄλλως οὐχ οἷόν τε ἢ τῇ δι' ἀναμνήσεως εἰς νοῦν καὶ θεὸν ἐπιστροφῇ. Μεταξὺ δὲ τῶν οὕτω λεγομένων ἀθανάτων θεῶν, καὶ τῶν θνητῶν, ὡς εἴπομεν, θεῶν ἀνάγκη γένος τι εἶναι, τιμιώτερον μὲν ἀνθρώπου, καταδεέστερον δὲ θεοῦ, τῇ δι' ἑαυτοῦ μεσότητι τὰ ἄκρα πρὸς ἄλληλα συνάπτον, ὥστε τὸ πᾶν τῆς λογικῆς δημιουργίας αὐτὸ ἑαυτῷ συνδεδέσθαι καλῶς. Τοῦτο δὴ τὸ μέσον οὔτε παντελῆ ἄγνοιαν τοῦ θεοῦ ἴσχει ποτέ, pag. 18.
οὔτε παντελῶς ἀκίνητον καὶ ἀεὶ ὡσαύτως διαμένουσαν γνῶσιν, ἀλλ' ἀεὶ μὲν γινώσκει, ἄλλως δὲ καὶ ἄλλως ἐπιβάλλει, καὶ μᾶλλον ἔστιν ὅτε καὶ ἧττον. Τῷ μὲν ἀεὶ γινώσκειν ἀναβέβηκε τοῦ ἀνθρωπίνου γένους, τῷ δὲ μὴ ἀτρέπτως μηδὲ ὡσαύτως ἀεὶ γινώσκειν ὑποβέβηκε τοῦ θείου, φύσει μέσον ὑπάρχον καὶ οὔτε προκοπῇ βελτιωθὲν ἐξ ἀνθρώπου οὔτε ἀμελείᾳ ὑποβὰν ἐκ θεοῦ εἰς τὴν μέσην τάξιν. Πρῶτα γὰρ καὶ δεύτερα καὶ τρίτα ὁ δημιουργὸς θεὸς ὑπέστησε φύσει διαφέροντα ἀλλήλων, καὶ μὴ συγχεόμενα πρὸς ἄλληλα, μηδὲ ἀρετῇ καὶ κακίᾳ τὴν τάξιν διαμείβοντα· ἃ δὴ κατ' οὐσίαν ἑστῶτα ἀϊδίως τῇ συμπροελθούσῃ αὐτοῖς τάξει κατὰ γένος διέστη καὶ ταῖς δημιουργικαῖς αἰτίαις ἀνάλογον ἐτάχθη. Ὡς γὰρ ἐκεῖ πρῶτα καὶ μέσα καὶ ἔσχατα τῆς παντελείου σοφίας ἡ τάξις ἔχει· (τοῦτο γάρ ἐστιν αὐτῇ καὶ τὸ εἶναι τῇ σοφίᾳ, τὸ ἐν τάξει καὶ τελειότητι προάγειν τὴν ποίησιν, ὥστε συνιέναι ἀλλήλαις σοφίαν καὶ τάξιν καὶ τελειότητα·) οὕτω δὴ καὶ ἐν τῷδε τῷ παντὶ τὰ πρὸς τὴν πρώτην νόησιν τοῦ θεοῦ γενόμενα πρῶτα ἂν εἴη ἐν κόσμῳ, τὰ δὲ πρὸς τὴν μέσην καὶ

3. θεῶν] G; M. om. — 5. ἄκρα] Codd. G. et A; vulgo haec vox omittitur. — 5. συνάπτον G; συνάπτων M. — 6. τὸ πᾶν τῆς λογικῆς δημιουργίας] M. et margo G. ubi tamen male scriptum δηριουργίας; vulgo τὸ πᾶν λογικῆς τῆς οὐσίας. — 7. τοῦτο δὴ τὸ μέσον] G; τοῦτο τὸ μέσον M; τοῦτο δὴ μέσον Curter. — 8. γνῶσιν] G; γνῶσιν ἔχει M. — 10. μᾶλλον ἔστιν ὅτε] Sic correxi quod in prioribus edd. legebatur μᾶλλόν ἐστιν ὅτε. — 11. ἀεὶ γινώσκειν] G. et A; vulgo ἀεὶ deest. — 12. τοῦ θείου] G; τῶν θεῶν M; τοῦ θῦ S. — 13. ἐκ θεοῦ] G; ἐκ θεῶν M. — 17. διαμείβοντα] G; ἀμείβ. M. — 17. συμπροελθούσῃ] Cod. Med; συμπληρπροελθούσηι S. mero librarii errore; reliqui male συμπροσελθούσῃ. Etenim si illa τεταγμένα προῆλθον, ut infra dicit, certe συμπροῆλθεν αὐτοῖς ἡ τάξις. — 19. ὡς γὰρ] G; ὡς καὶ M. — 21. αὐτῇ καὶ τὸ εἶναι τῇ σοφίᾳ] scripsi pro vulg. αὐτῇ καὶ τὸ εἶναι σοφίᾳ. Commodior tamen verborum collocatio fuerit: αὐτῇ τῇ σοφίᾳ καὶ τὸ εἶναι. — 22. συνιέναι] M; συνεισιέναι G C. — 24. πρὸς τὴν μέσην καὶ αὐτὰ μέσα] S M; πρὸς τὴν μέσην μέσα scriben-

αὐτὰ μέσα, καὶ τὰ τῷ πέρατι τῶν νοήσεων ἐοικότα τελευταῖα ἂν εἴη ἐν λογικοῖς. Ἔστι γὰρ πᾶς μὲν ὁ λογικὸς διάκοσμος μετὰ τοῦ συμπεφυκότος αὐτῷ ἀφθάρτου σώματος εἰκὼν ὅλου τοῦ δημιουργοῦ θεοῦ. Τῆς δὲ ἐκεῖ ἀκρότητος τὰ ἐν κόσμῳ πρῶτα ἀκήρατος εἰκών, καὶ τῆς ἐκεῖ μεσότητος μέση εἰκὼν τὰ ἐνταῦθα μέσα, καὶ τοῦ πέρατος τῆς ἐκεῖ θεότητος τελευταία εἰκὼν τὰ ἐν λογικοῖς τρίτα καὶ ἔσχατα. Τούτων δὲ τῶν τριῶν γενῶν τὸ μὲν πρῶτον ἀθανάτους θεοὺς ὁ παρὼν λόγος ἐσήμανε, τὸ δὲ
pag. 20. μέσον ἥρωας ἀγαυούς, καὶ τὸ ἔσχατον δαίμονας καταχθονίους, ὡς μικρὸν ὕστερον εἰσόμεθα. Νῦν δὲ ἐπὶ τὰ πρῶτα πάλιν ἐπανέλθωμεν. τίς ὁ νόμος καὶ ἡ κατὰ τοῦτον τάξις καὶ ἡ πρὸς τὴν τάξιν ἀποδιδομένη τιμή; νόμος μὲν ὁ δημιουργικὸς νοῦς καὶ ἡ θεία βούλησις ἡ ἀϊδίως προάγουσα τὰ πάντα καὶ εἰς ἀεὶ διασώζουσα, τάξις δὲ ἔννομος ἡ ἀπὸ τοῦ πατρὸς τῶν ὅλων καὶ δημιουργοῦ τοῖς ἀθανάτοις θεοῖς συνεισελθοῦσα, καὶ ποιοῦσα ἐν αὐτοῖς τοὺς μὲν πρώτους, τοὺς δὲ δευτέρους. Εἰ γὰρ καί, ὡς ἐν παντὶ τῷ λογικῷ διακόσμῳ, τὴν ἀκρότητα ἔλαχον, ἀλλ' ὁμοίως ἐν ἑαυτοῖς ποικίλλονται καί εἰσιν ἄλλοι ἄλλων θειότεροι. Μήνυμα δὲ τῆς κατ' οὐσίαν αὐτῶν ὑπεροχῆς τε καὶ

dum conjecit Ashtonus exclusis illis καὶ τὰ ante μέσα, quae in edd. prioribus leguntur. Fortasse sic scriptum repperit Curterius in codice suo; vertit enim *media autem quae ad medium*, etsi in textu καὶ τὰ non expunxit. — 2. πᾶς μὲν ὁ λογικὸς διάκοσμος] i. e. τὰ τρία γένη τῶν λογικῶν sive τῶν ἐγκοσμίων θεῶν (cf. supra adn. ad p. 14 [24]) quorum omnium animis Pythagorei et Platonici arbitrabantur σῶμα ἄφθαρτον συμπεφυκέναι, quod eis vehiculi instar esset. Hoc autem Plato in Timaeo nominat λεπτὸν ὄχημα ψυχῆς et σῶμα φωτεινὸν et αὐγοειδές, de quo plenius Hierocles in Comm. ad vers. 67 disputat. — 5. μέση εἰκὼν] M; εἰκὼν μέση G. — 6. θεότητος] Codd; S. in margine ληρ̂ μακρ̊, quae nebulonis alicujus nota videtur hoc philosophandi genus improbantis. Cf. de hac veterum consuetudine Cic. Pison. 30 et Senec. epist. 6. — 7. τὸ μὲν πρῶτον] M; τὰ μὲν πρῶτα G. — 11. τοῦτον G; τούτων M. — 13. προάγουσα] scripsi flagitante loci sensu pro eo quod in codd. est παράγουσα. — 13. εἰς ἀεὶ] G; ἀεὶ omisso εἰς M. — 15. συνεισελθοῦσα] G; vulgo ἐπεισελθοῦσα. — 17. παντὶ τῷ λογικῷ] M S; παντὶ λογικῷ G C. — 18. ἀλλ' ὁμοίως] Sic cod. Med; vulgo ἔλαχον,' ὅμως ἐν ἑαυτοῖς. Sed ὁμοίως apud Atticos pro ὅμως dici satis notum. Vide Xenophontis et Demosthenis locos citatos in Thesauro Parisiensi p. 1968. Quamvis autem ἀλλ' molestum esse dicas hoc loco, tamen non infrequens est ἀλλ' ὅμως. Cf. Viger. p. 428 ed. Herm. Caeterum S. omisso ἀλλ' simpliciter exhibet ὁμοίως.

ὑποβάσεως ἡ τῶν οὐρανίων σφαιρῶν τάξις, κατ' οὐσίαν καὶ δύναμιν τὴν θέσιν διαλαχοῦσα, ὡς ἐν τῇ οὐσίᾳ αὐτῶν κεῖσθαι τὸν νόμον, καὶ τὴν τάξιν ὁμοφυῆ εἶναι αὐτῶν τῇ ἀξίᾳ. Οὐ γάρ, ὡς ἔτυχεν, ὑποστάντες ὕστερον διεκρίθησαν, ἀλλὰ τεταγμένοι προῆλθον εἰς τὸ εἶναι, ὥσπερ ἐν ἑνὶ ζώῳ τῷ ὅλῳ οὐρανῷ διάφορα ὄντες μέρη καὶ τὴν πρὸς ἄλληλα σύνταξιν ἐν τῇ κατ' εἶδος διαστάσει ἅμα καὶ συναφῇ ἀποσώζοντες, ὥστε μηδὲ ἐπάλλαξιν τῆς θέσεως αὐτῶν ἐπινοηθῆναί ποτε δύνασθαι εἰ μὴ μετὰ τῆς φθορᾶς τοῦ παντός· ἣν ἀδύνατον ἐπισυμβῆναι, ἔστ' ἂν ᾖ τὸ πρῶτον αὐτῶν αἴτιον ἀμετάβλητον πάντῃ καὶ ἄτρεπτον, καὶ τὴν οὐσίαν τῇ ἐνεργείᾳ τὴν αὐτὴν κεκτημένον, καὶ τὴν ἀγαθότητα οὐκ ἐπίκτητον ἔχον, ἀλλ' οὐσιωμένην καθ' αὑτὴν καὶ δι' αὐτὴν τὰ πάντα πρὸς τὸ εὖ εἶναι παράγον. Αἰτία γὰρ τῆς

1. ὑποβάσεως] margo G. M. et Curterius; vulgo ὑπερβάσεως. — 3. ἀξίᾳ] G; Curterius conj. εὐταξίᾳ; vulgo ἀταξίᾳ. In cod. Med. pro αὐτῶν τῇ ἀξίᾳ legitur αὐτῇ τῇ ἀξίᾳ. — 5. ὥσπερ ἐν ἑνὶ ζώῳ] Praepositionem ἐν, quae in prioribus edd. deerat atque in codd. SMG desideratur, recte addidit Ashtonus. Similiter Hierocles lib. de providentia τὰ τρία γένη ὡς ἐν ἑνὶ ζώῳ συνηρτῆσθαι, ap. Phot. Cod. 214. Synesius περὶ ἐνυπν. initio ἀδελφῶν ὄντων τῶν ἐν ἑνὶ ζώῳ τῷ κόσμῳ. Antonin IV, 40 ὡς ἓν ζῶον τὸν κόσμον — ἐπινοεῖν. Plotin. Enn. IV, 4, 32 πᾶν τοῦτο ὡς ἓν ζῶον. Jamblichus de Myster. Sect. IV, 12 ὡς ἓν ζῶόν ἐστι τὸ πᾶν. Proclus in Platon. Timae. p. 10 A. (pag. 21 ed. Schneid.) ὡς ἐν ἑνὶ παντελεῖ ζώῳ πάντα περιείληπται, τά τε πρῶτα καὶ μέσα καὶ τελευταία. — 6. τὴν πρὸς] GMC; πρὸς τὴν S. — 7. συναφῇ] G; συναφείᾳ M. — 7. ἀποσώζοντες] GMC; ἀποσωίζοντες S. — 9. ἐπισυμβῆναι] N. et Asht. recte ἔστ' ἂν; vulgo ἐπισυμβῆναί ἐστ' ἄν. — 11. αὐτὴν M; αὐτοῦ margo G. — 13. δι' αὐτὴν] Ita codd. plerique; male Needhamius δι' αὐτῆς e margine G. et A. recepit qui tamen videtur καθ' αὑτὴν καὶ δι' αὐτῆς legisse. Neque enim de causa efficiente agitur, qua (δι' ἧς) deus omnia creaverit, quae erat ipsius δύναμις, sed de ratione et causa, (τῷ τελικῷ αἰτίῳ) propter quam creaverit. Haec autem fuit bonitas, propria divinae naturae. Plato in Timaeo p. 29 λέγωμεν αἰτίαν δι' ἣν τὸ πᾶν συνέστησε· ἀγαθὸς ἦν. Proclus in Tim. p. 109. F. (p. 259 ed. Schneid.) ὥστε καὶ ὁ δημιουργικὸς νοῦς τὸ εἶναι δημιουργικὸς ἔχει διὰ τὴν ἀγαθότητα τὴν ἐν αὐτῷ. διά ταύτην γάρ καὶ ὁ ἐν αὐτῷ νοῦς ποιητής ἐστι. Sallust. περὶ θεῶν c. 7 διὰ τὴν τοῦ θεοῦ ἀγαθότητα ὄντος τοῦ κόσμου. Dionys. Areop. de nom. div. c. 1 πάντα πρὸς τὸ εἶναι παρήχθη διὰ τὴν αὐτοῦ ἀγαθότητα. His similibusque locis adducti, quum praeterea de rerum procreatione tantum hic disputetur Pearsonus in Symb. p. 56 et Ashtonus non πρὸς τὸ εὖ εἶναι [cujus loco S. habet πρὸς εὖ εἶναι], sed simpliciter πρὸς τὸ εἶναι legi voluerunt. — 13. τὰ πάντα] margo G. M. et A; vulgo inepte τὰ πάντων. — 13. αἰτία γὰρ] GM; αἰτία γὰρ ἡ S.

τῶν πάντων ποιήσεως αὐτῷ οὐδεμία ἄλλη πρόςεστιν εὔλογος πλὴν τῆς κατ' οὐσίαν ἀγαθότητος. Ἀγαθὸς γὰρ ἦν, φησίν· ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίνεται φθόνος. Αἱ pag. 22. δὲ παρὰ τὴν ἀγαθότητα λεγόμεναι αἰτίαι τῆς δημιουργίας τοῦδε τοῦ παντὸς ἀνθρωπίναις μᾶλλον περιστάσεσιν ἢ τῷ θεῷ πρέπουσιν. Ἀγαθὸς δὴ ὢν τὴν οὐσίαν ὁ θεὸς τὰ μάλιστα ὡμοιωμένα αὐτῷ πρῶτα φύσει προήγαγε, καὶ δεύτερα, τὰ τὴν μέσην ὁμοιότητα πρὸς αὐτὸν κεκτημένα, τρίτα δὲ καὶ ἔσχατα πάντων τῶν ἐοικότων αὐτῷ τὰ πρὸς τὴν θείαν ὁμοίωσιν μάλιστα ὑφειμένα. Τῇ δὲ οὐσίᾳ τῶν γινομένων σύνδρομος ἦν ἡ τάξις, ὥστε τὸ φύσει κρεῖττον προτεταγμένον εἶναι τοῦ καταδεεστέρου ἔν τε τοῖς ὅλοις γένεσιν καὶ ἐν τοῖς καθ' ἕκαστον γένος τὴν κατ' εἶδος ὑπόβασιν κεκτημένοις. Οὐ γὰρ τύχαις ἐκληροῦτο τὴν τάξιν τὰ πάντα, οὐδὲ προαιρέσεων μεταβολαῖς, ἀλλὰ νόμοις δημιουργικοῖς διάφορα προήγετο, καὶ τὴν τάξιν ἀνάλογον ταῖς τῶν φύσεων ἀξίαις ἐλάγχανε. Διὸ τὸ νόμῳ ὡς διάκεινται, τίμα οὐ μόνον ἐπὶ τῶν ἀθανάτων θεῶν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀγαυῶν ἡρώων καὶ τῶν ἀνθρωπίνων ψυχῶν κοινῶς ἀκουστέον.

1. αὐτῷ] G. in marg. et M; vulgo deest haec vox. A. exhibet θεῷ. — 2. φησίν] Pro vulg. φύσει margo codd. Gall. et Med. praebent quod unice verum est φησίν, subaudi ὁ Πλάτων. Verba enim ἀγαθὸς ἦν, ἀγαθῷ δὲ — φθόνος leguntur ap. Platonem Tim. pag. 29. E; quae quoniam notissima erant, Platonis nomen omitti licebat. Similiter Antonin. VII, 63 πᾶσα ψυχὴ ἄκουσα, φησίν (intellige ὁ Πλάτων) στέρεται ἀληθείας. — 4. δὲ] Codd. G; vulgo γάρ. — 5. μᾶλλον περιστ.] M. et Curter; περιστ. μ. GS. — 5. τῷ] GSC; M. om. — 6. δὴ] S; δὲ MGC. — 6. οὐσίαν] MS; φύσιν G. — 6. τὰ] G; τὴν M. — 6. ὡμοιωμένα) Codd. G; vulgo perperam ὁμοιώμενα. — 7. φύσει] Abfuisse hanc vocem in cod. Veneto ex Aurispae interpretatione intelligitur. Quum autem commodior sit verborum collocatio φύσει πρῶτα, Needhamius a librario inversum esse ordinem suspicabatur. Sic enim Hierocles: φύσει μέσον, φύσει κρεῖττον, alia. — 7. προήγαγε] scripsi pro vulg. παρήγαγε. — 7. τὰ τὴν μέσην] S M; in edd. vulgo τὰ desideratur. — 8. τρίτα] GMC; τρία S. — 10. τὸ φύσει] Codd. G; vulgo τῇ φύσει, — 11. εἶναι] G; ἐστὶν M. — 12. ὅλοις] G; ἀλόγοις M. — 12. καὶ ἐν τοῖς] Cod. Med. et S; vulgo ἔν τε τοῖς. — 13. ὑπόβασιν] G. S. Vat. Mh; vulgo ὑπόστασιν; A: fundamentum et subjectum habens; M. ὑπόστασιν. Cf. p. 17 pr. p. 18 ed. Curt. et Procli στ. θ. § 21. 36. 110, 97. — 14. προαιρέσεων] MS; προαιρέσεως G. — 15. διάφορα] Codd. G in marg.; διαφορὰ vulgo. — 15. προήγετο] GC; παρήγετο MS. — 16. ἀξίαις] G; ἀξίαν Curterius. — 16. τὸ] vulg; τῶ S. — 16. τὸ νόμῳ Codd. G; vulgo διὸ, τῷ.

Ἔστι γὰρ πλῆθος εἰδῶν ἐν ἑκάστῳ γένει καθ' ὑπεροχὴν καὶ ὑπόβασιν τεταγμένον. Τοιαύτη μὲν ἡ φύσις τῶν λογικῶν οὐσιῶν καὶ ἡ τάξις. Τίς δὲ ὁ νόμος καὶ ἡ τούτῳ ἑπομένη τιμή; Πάλιν λέγομεν, ὅτι νόμος μὲν ἡ ἄτρεπτος τοῦ θεοῦ δημιουργικὴ ἐνέργεια, ἡ γεννῶσα τὰ θεῖα γένη καὶ τάττουσα ἀϊδίως καὶ ἀμεταβλήτως· ἡ δὲ σύμφωνος τῷ νόμῳ τιμὴ ἡ τῆς οὐσίας ἐστὶ τῶν τιμωμένων γνῶσις καὶ ἡ πρὸς αὐτὰ κατὰ δύναμιν ἐξομοίωσις. Ὃ γὰρ ἄγαταί τις, καὶ μιμεῖται, ὅσον αὐτῷ οἷόν τε· καὶ τιμὴν ποιεῖται τοῦ ἀνενδεοῦς τὴν τῶν ὑπ' ἐκείνου προτεινομένων ἀγαθῶν ὑποδοχήν. Οὐ γὰρ τιμήσεις τὸν θεὸν ἄριστα διδούς τι αὐτῷ, ἀλλ' ἄξιος τοῦ λαβεῖν τὰ παρ' ἐκείνου pag. 24. γινόμενος. Ὡς γάρ φασιν οἱ Πυθαγόρειοι, τιμήσεις τὸν θεὸν ἄριστα, ἐὰν τῷ θεῷ τὴν διάνοιαν ὁμοιώσῃς· καί, ὅστις τιμᾷ τὸν θεόν, ὡς προσδεόμενον, οὗτος λέληθεν οἰόμενος ἑαυτὸν τοῦ θεοῦ εἶναι κρείττονα· καί, ἡ τῶν προσφερομένων πολυτέλεια τιμὴ εἰς θεὸν οὐ γίνεται, εἰ μὴ μετὰ τοῦ ἐνθέου φρονήματος προσάγοιτο. Δῶρα γὰρ καὶ θυηπολίαι ἀφρόνων, πυρὸς τροφή· καὶ ἀναθήματα, ἱεροσύλοις χορηγία. Τὸ δὲ ἔνθεον φρόνημα, διαρκῶς ἡδρασμένον, συνάπτει θεῷ. χωρεῖν γὰρ ἀνάγκη τὸ ὅμοιον πρὸς τὸ ὅμοιον· ὅθεν καὶ μόνος ἱερεὺς ὁ σοφὸς λέγεται, μόνος θεοφιλής, μόνος εἰδὼς εὔξασθαι. Μόνος γὰρ οἶδε τιμᾶν

1. πλῆθος εἰδῶν] Cave putes lapsum esse Hieroclem in eo quod vel in primo immortalium deorum genere πλῆθος esse dixerit, quum illi ἀθάνατοι θεοί stellae sint innumerabiles. — 3. δὲ] MGC; δαὶ S. — 4. λέγομεν] G; λέγωμεν MS. — 4. θεοῦ δημιουργικὴ ἐνέργεια] Cod. Med. et S; G. θεοῦ καὶ δημιουργικὴ ἐνέργεια; Curter: θεοῦ καὶ ἡ δημ. ἐνεργ. Caeterum post τοῦ rasura in S. — 5. γένη] G; ἔθη (fortasse ἔθνη) τε. — 6. ἡ τῆς οὐσίας] G; vulgo ἥτις. — 7. πρὸς αὐτὰ] M; vulgo πρὸς αὐτήν. — 8. ἄγαται] Cod. Med. et S; reliqui ἀγαπᾷ. Imitatus videtur scriptor Platonem sexto de rep. libro ita scribentem: ὅτῳ τις ὁμιλεῖ ἀγάμενος, μιμεῖται ἐκεῖνο. — 9. ὑπ'] G; ἐπ' M. — 10. τιμήσεις] G; τιμήσῃς M. — 11. ἄριστα] M; reliqui codd. om. — 12. γινόμενος] S; γενόμενος MCG. — 12. Πυθαγόρειοι] MCG; Πυθαγόριοι S. — 12. τιμήσεις] Eodem modo Sextus ap. Orell. opusc. vett. Gr. sent. et mor. I. p. 265: optime honorat deum ille, qui mentem suam quantum fieri potest similem deo facit. — 12. τιμήσεις G; τιμήσῃς M. — 13. ὅστις] G; ὃς M. — 13. τιμᾷ] Codd; τίμα male Gaisf. — 17. προσάγοιτο] MGC; προάγοιτο S. — 17. θυηπολίαι ἀφρόνων] Cf. Demophili sentent. Pythag. 10 et 22 ap. Orell. opusc. vett. Gr. sent. et moral. I p. 38 et 40 et Stobaeum IV, 109. — 17. τροφή] MGC; τροφῃ S.

ὁ τὴν ἀξίαν μὴ συγχέων τῶν τιμωμένων, καὶ ὁ προηγουμένως ἱερεῖον ἑαυτὸν προςάγων, καὶ ἄγαλμα θεῖον τεκταίνων τὴν ἑαυτοῦ ψυχήν, καὶ ναὸν εἰς ὑποδοχὴν τοῦ θείου φωτὸς τὸν ἑαυτοῦ κατασκευάζων νοῦν. Τί γὰρ τοιοῦτον προςάξεις ἀπὸ τῶν ἐν μέσῳ κειμένων ὑλῶν, ὃ τῷ θεῷ προςφυὲς ἄγαλμα ἐργάσῃ ἢ δῶρον ἑνοῦσθαι αὐτῷ δυνάμενον; ἃ δὴ ἐπὶ τῆς λογικῆς οὐσίας καθαρθείσης συμβαίνειν ἀνάγκη. Ὡς γὰρ οἱ αὐτοὶ ἄνδρες φασί, ψυχῆς καθαρᾶς τόπον οἰκειότερον ἐπὶ γῆς θεὸς οὐκ ἔχει· οἷς καὶ ὁ Πύθιος συμφέρεται, λέγων·

εὐσεβέσιν δὲ βροτοῖς γάνυμαι τόσον, ὅσσον ὀλύμπῳ.

Εὐσεβὴς δὲ ὁ τὴν θείαν ἐπιστήμην ἔχων καὶ τὴν ἑαυτοῦ τελείωσιν ὡς τιμὴν ἀρίστην προσάγων τοῖς τῶν ἀγαθῶν αἰτίοις, τῇ σπουδῇ τῆς κτήσεως πρὸς τοὺς χορηγεῖν πεφυκότας ἐπιστρεφόμενος, καὶ τῷ λαμβάνειν τὰ ἀγαθὰ δύνασθαι τιμῶν τοὺς ἀεὶ διδόντας αὐτά. Ὁ δὲ ἄλλως τιμᾶν τὸ θεῖον προαιρούμενος, καὶ μὴ δι' ἑαυτοῦ,
pag. 26. παρανάλωμα τῆς ἔξωθεν εὐπορίας ποιεῖται τὴν τιμήν, οὐκ οἰκείαν ἀρετὴν προςφέρων, ἀλλὰ ἀπὸ τῶν ἐκτὸς αὐτῷ ἀφοσιούμενος. Ταῦτα δὲ οὐδὲ σπουδαίῳ ἀνδρί λαμβάνειν ἡδὺ μὴ μετὰ τῆς ἀρίστης διαθέσεως διδόμενα. Τοιοῦτον δὲ καὶ τὸ τοῦ Πυθίου πάλιν ἀπόφθεγμα. Πρὸς γὰρ τὸν ἑκατόμβας θύσαντα μὴ μετ'

4. κατασκευάζων] M; παρασκευάζων G. et Curt. — 5. προςφυὲς ἄγαλμα] Cod. Med. et Curt.; non male codd. Gall. προςφιλὲς ἄγαλμα quod exprimit Aurispa *deo acceptum simulacrum*. — 6. ἑνοῦσθαι αὐτῷ] G; αὐτῷ ἑνοῦσθαι M. et Curt. — 7. οὐσίας] G; ψυχῆς M. — 9. καὶ ὁ Πύθ.] M; ὁ Πύθ. omisso καὶ G. — 10. εὐσεβέσιν δὲ βροτοῖς] Eundem versum citat Julianus Imperator in Fragm. p. 300 ed. Lips. — 10. εὐσεβέσιν] M; εὐσεβέσι G. — 10. γάνυμαι] M; γάννυμαι G. — 11. ἑαυτοῦ] G; ἑαυτῆς M; ἑαυτ$^{\varsigma}$ S. — 13. κτήσεως] Curter. conj.; sic autem Cod. M. et Aurispa: *cum studio acquirendi*; vulgo κτίσεως. — 14. τῷ] MGC; τὸ S. — 17. αὐτῷ] Cod. Med. recte; refertur enim ad τὸ θεῖον. Male S. G. et Curt. αὐτοῖς. In sequentibus spectat Platonis verba de legg. IV, p. 716 παρὰ δὲ μιαροῦ δῶρα οὔτ' ἄνδρα ἀγαθόν, οὔτε θεόν ἐστί ποτε τό γε ὀρθὸν δέχεσθαι. Unde et Cic. de legg. II, 16 vix nemo bonus ab improbo se donari velit. — 18. μὴ] MGC; om. S. — 19. τοιοῦτον] S; τοιοῦτο MGC. — 20. πρὸς γὰρ τὸν ἑκατόμβας θύσαντα] Ad Thessalum quendam; cui τοὺς χρυσόκερως βοῦς καὶ ἑκατόμβας offerenti respondit Pythia, μᾶλλον τὸν Ἑρμιονέα κεχαρίσθαι, qui farinae tantum, quantum tribus digitis capere posset, obtulit. Ita narrat Porphyr. de abstin. II, 15. — 20. πρὸς γὰρ] G; καὶ γὰρ πρὸς M.

εὐσεβοῦς γνώμης, καὶ πυνθανόμενον πῶς εἴη προσδεδεγμένος τὰ παρ' αὐτοῦ δῶρα ἀπεκρίνατο·

ἀλλά μοι εὔαδε χόνδρος ἀγακλυτοῦ Ἑρμιονῆος,

τὸ εὐτελέστατον προκρίνων τῆς τοσαύτης πολυτελείας, ὅτι δὴ θεοσεβεῖ γνώμῃ κεκόσμητο. Μετὰ ταύτης γὰρ πάντα θεοφιλῆ· καὶ ἄνευ ταύτης οὐδὲν θεῷ φίλον ἄν ποτε γένοιτο. Καὶ τὰ μὲν περὶ θεοσεβείας καὶ ὁσιότητος ἱκανῶς ἐν τῷ παρόντι λέλεκται. Ἐπειδὴ δὲ τὸν νόμον τῆς τοῦ παντὸς διατάξεως ἄτρεπτος φρουρὰ διατηρεῖ, καὶ τῆς φρουρᾶς ταύτης φύλακα τοῖς παλαιοῖς ἔθος ἦν δι' ἀποῤῥήτων ὅρκον ὀνομάζειν, εἰκότως ἐφεξῆς τοῖς προειρημένοις ὡς ἀκόλουθον ἐπάγει δόγμα τὸ περὶ τοῦ ὅρκου παράγγελμα.

II. 2.

— — — — — καὶ σέβου ὅρκον — — —

Νόμον ἐν τοῖς προτέροις ἀπεφηνάμεθα τὴν ἀεὶ ὡσαύτως ἔχουσαν ἐνέργειαν τοῦ θεοῦ, τὴν ἀϊδίως καὶ ἀτρέπτως τὰ πάντα πρὸς τὸ εἶναι παράγουσαν. Ὅρκον δὲ νῦν ἑπομένως ἂν τῷ νόμῳ λέγοιμεν τὴν ἐν ταὐτότητι τὰ πάντα διατηροῦσαν αἰτίαν καὶ οὕτως αὐτὰ βεβαιουμένην, ὡς ἐν ὅρκου πίστει κρατούμενα καὶ διασώζοντα τοῦ νόμου τὴν τάξιν, ὥστε ἀποτέλεσμα τοῦ δημιουργικοῦ νόμου εἶναι τὸ ἀπαράβατον τῆς ἐν τοῖς δημιουργηθεῖσιν εὐταξίας. Τὸ γὰρ διαμένειν τὰ πάντα, νόμῳ ὡς διάκειται, προηγούμενον ἔργον ἂν εἴη τοῦ ὅρκου τοῦ θείου, ὃς ἐν pag. 28.

2. ἀπεκρίνατο] M; ἀποκρίνεται G. — 5. θεοσεβεῖ γνώμῃ] Cod. Med. et S; male G. et Curt. θεοσεβείας γνώμῃ. Supra legitur μετ' εὐσεβοῦς γνώμης. In sequentibus ταύτης itidem Cod. M. et S. habet pro αὐτῆς. — 10. ὅρκον] conj. Pearsonus; item in margine Cod. G. legitur ἴσ. ὅρκον; vulgo ὅρκων. Cf. infra pag. 32 καὶ γὰρ καὶ ὁ ὅρκος τοῦ θείου νόμου ἦν φύλαξ κατὰ τὴν τοῦ παντὸς διακόσμησιν. — 11. περὶ τοῦ ὅρκου παράγγελμα] M. et A; περὶ ὅρκου παράγγελμα G; vulgo π. ὅρκων π. — 15. ἀεὶ ὡσαύτως ἔχουσαν ἐνέργειαν] Ita recte omisso καὶ edidit Ashtonus pro vulgato ἀεὶ καὶ ὡσαύτως ἔχουσαν ἐνέργειαν; καὶ ὡς αὔτως S. — 17. πρὸς τὸ εἶναι παράγουσαν] Vulgo; S. M. G. et A. πρὸς τὸ εὖ εἶναι, quod non esse admittendum recte judicavit Bentlejus apud Needhamium. — 17. ἑπομένως] M G C; ἑπομένους S. — 18. διατηροῦσαν] G; διακρίνασαν M. — 19. αὐτὰ βεβαιουμένην] M. G. et Aur. qui vertit: *illa firmantem*; vulgo καταβεβαιουμένην. — 22. διαμένειν] M. G. et A; vulgo μένειν. — διάκειται] M; διάκεινται G. — 23. ὅρκου τοῦ θείου] M G C

μὲν τοῖς ἀεὶ νοοῦσι τὸν θεὸν μάλιστά τε καὶ ἀεὶ διασώζεται· ἐν δὲ τοῖς ποτὲ μὲν νοοῦσι ποτὲ δὲ ἀφισταμένοις τῆς θείας γνώσεως καὶ ὁ ὅρκος ὁμοίως παραβαίνεται μὲν ὑπὸ τῶν ἀφισταμένων, αὖθις δὲ τηρεῖται ὑπὸ τῶν πρὸς τὴν θείαν ἐπιστροφὴν ἀναγομένων. Ἡ γὰρ τήρησις τῶν θείων νόμων ὅρκος νῦν λέγεται, ᾧ δέδεται καὶ ἀνήρτηται πάντα πρὸς τὸν δημιουργὸν θεὸν τὰ γιγνώσκειν αὐτὸν πεφυκότα· ὧν τὰ μὲν ἀεὶ ἐχόμενα αὐτοῦ ἀεὶ σέβει τὸν ὅρκον, τὰ δὲ ἀφιστάμενά ποτε, τότε καὶ περὶ τὸν ὅρκον ἀσεβεῖ, οὐ μόνον τοῦ θείου νόμου τὴν τάξιν, ἀλλὰ καὶ τοῦ θείου ὅρκου τὴν πίστιν παραβαίνοντα. Τοιοῦτος μὲν οὖν ὁ τοῖς λογικοῖς γένεσιν ἐνουσιωμένος ὅρκος, ἔχεσθαι τοῦ πατρὸς αὐτῶν καὶ ποιητοῦ, καὶ μὴ παραβαίνειν μηδαμῇ τοὺς ὑπ' ἐκείνου διορισθέντας νόμους ἀναγκάζων. Ὁ δὲ ἐν ταῖς κατὰ τὸν βίον ἀναστροφαῖς ὅρκος ἴχνος ἐστὶν ἐκείνου, πρὸς ἀλήθειαν ἀπευθύνων τοὺς δεόντως αὐτῷ χρωμένους. Τὸ γὰρ ἀμ-

θείου ὅρκου S. — 1. διασώζεται] G; σώζεται M S. — 3. καὶ ὁ ὅρκος] Hanc codd. lectionem Needhamius de Bentleji sententia temere mutatam voluit; sic autem Bentlejus scribendum putat: τοῦ ὅρκου τοῦ θείου. Ὁ γὰρ νόμος ἐν μὲν τοῖς — ἐν δὲ τοῖς ποτὲ μὲν νοοῦσι, ποτὲ δὲ ἀφισταμένοις τῆς θείας γνώσεως, ποτὲ μὲν τηρεῖται, ποτὲ δὲ παραβαίνεται. Καὶ ὁ ὅρκος ὁμοίως παραβαίνεται. Caeterum ὁ γὰρ νόμος volebat propterea quod A. vertit: *quae lex.* — 4. ἐπιστροφὴν] Cod. Med; στροφὴν Codd. Gall. Utrumque ferri potest. Itaque non erat, quod e Bentleji conjectura Needhamius ἀναστροφὴν poneret. Spectat autem ἡ τήρησις τοῦ θείου ὅρκου ad τρία γένη τῶν λογικῶν, e quibus τὸ τρίτον γένος i. e. οἱ καταχθόνιοι δαίμονες, qui αἰθέριοι μεταπίπτοντες et ἀθάνατοι ἄνθρωποι dicuntur, quum ἀμφίβιοι sint et modo in aethere, modo in terra degant, non semper τὸν θεῖον ὅρκον observant. Nam dum in aethere manentes deum contemplantur, jusjurandum observant, violant autem, cum dei cognitione excidentes corpus assumunt, donec his vinculis aliquando elapsi in coelum remeant, πρὸς τὴν θείαν στροφὴν ἀνάγονται, vel rursus τῷ θείῳ χορῷ συνάπτονται. Est autem haec θεία στροφὴ eadem quam alibi nominat Hierocles τὴν πρὸς θεὸν ἐπιστροφὴν et πρὸς νοῦν στροφὴν et quae a Simplicio vocatur ἡ ἄνω στροφή, a Proclo vero ἡ εἰς τὸ αἴτιον στροφή et ἡ πρὸς τοὺς θεοὺς ἐπιστροφή. — 7. τὰ γιγνώσκειν αὐτὸν] M; τὸν γιγν. αὐτ. G. — 9. περὶ τὸν ὅρκον — παραβαίνοντα] M. G. et R; vulgo male περὶ ὅρκου ἀσεβεῖ, οὐ μόνον τοῦ θείου νόμου, ἀλλὰ καὶ τοῦ θείου ὅρκου τὴν τάξιν παραβαίνοντα. A. vertit: non solum juramentum infringunt, sed divae legis ordinem et divi juramenti fidem praetermittunt. — 13. ἀναγκάζων] adjectum e cod. Med. in reliquis desideratur; Ashtonus προςαναγκάζων tanquam ex hoc codice petitum scripsit; νόμους ἀναγκάζων om. etiam. S.

φίβολον τῆς ἀνθρωπίνης προαιρέσεως εἰς βεβαιότητα μεταῤῥυθμίζει, καὶ μένειν ἐπὶ τῆς ταὐτότητος ἀναγκάζει ἔν τε λόγοις καὶ ἔργοις, τοῦτο μὲν τῶν γεγενημένων τὸ σαφὲς ἐκφαίνων, τοῦτο δὲ τῶν μελλόντων γενήσεσθαι τὸ βέβαιον ἀπαιτῶν. διὰ ταῦτα δὴ καὶ μάλιστα σέβεσθαι προσήκει τὸν ὅρκον, τὸν μὲν κατ' οὐσίαν προϋπάρχοντα, διὰ τὴν τῆς ἀϊδιότητος φρουράν, τὸν δὲ ἀνθρώπινον καὶ τοῖς ἐν βίῳ πράγμασιν ἐπίκουρον ὡς εἰκόνα ἐκείνου, καὶ μετ' ἐκεῖνον βεβαιότητος καὶ ἀληθείας γενόμενον ἡμῖν πρύτανιν, καὶ τῶν καλλίστων ἠθῶν πληροῦντα τοὺς σέβειν αὐτὸν μεμαθηκότας. σέβας δὲ ὅρκου μόνον ἂν εἴη ἡ τήρησις τῶν ὀμωμοσμένων, ὅσον ἐφ' ἡμῖν, ἀπαραπόδιστος, ἡ πρὸς τὸ pag. 30. μόνιμον καὶ ἀληθευτικὸν τῆς θείας ἕξεως τῇ ἑκουσίῳ ἀνάγκῃ τοὺς σέβοντας τὸν ὅρκον συναρμόζουσα. Καὶ ἡ μὲν πρώτη καὶ ἀπόῤῥητος εὐορκία, διὰ τῆς εἰς θεὸν ἐπιστροφῆς, αὖθις ἀναλαμβάνεσθαι πέφυκε τοῖς ταῖς καθαρτικαῖς ἀρεταῖς τὴν παρέκβασιν ἰωμένοις τοῦ θείου ὅρκου· ἡ δὲ βιωτικὴ εὐορκία ταῖς πολιτικαῖς ἀρεταῖς διασώζεται. Μόνοι γὰρ οἱ τὰς ἀρετὰς ταύτας κεκτημένοι καὶ εὐορκεῖν ἐν τοῖς κατὰ τὸν βίον δύνανται· ἡ δὲ κακία μήτηρ ἐπιορκίας τῷ ἀβεβαίῳ τοῦ ἤθους τὸν ὅρκον καταπατοῦσα. Πῶς γὰρ ἂν ὁ φιλοχρήματος ἢ πρὸς ἀργυρίου

1. μεταῤῥυθμίζει] corr. Needhamius; Aurispa interpretatur: ad certitudinem reducit. Vulgo μεταῤῥιθμίζειν. G: μεταρυθμίζειν. SM: μεταῤῥυθμίζειν. — 5. τὸν μὲν] M; τὸν μὲν γὰρ G. — 6. ἀϊδιότητος MGC; ἰδιότητος S. — 8. ἐκεῖνον MGC; ἐκείνου S. — 8. γενόμενον] MGC; γινόμενον S. — 11. ὀμωμοσμένων] sic correxi vulg. ὠμωμοσμένων; ὀμωμοσμένων S. — 11. ἀπαραπόδιστος, ἡ πρὸς — συναρμόζουσα] Cod. Mediceus τήρησις δὲ λέγεται ante ἡ π. τ. μ. et δύναμις post συναρμόζουσα inserit, quae commode abesse possunt et in reliquis libris manu exaratis desiderantur. Pro ἀπαραπόδιστος, quod est in Mediceo, G Mh et Vat habent ἀπαρεμπόδιστος. S. autem ἀπαραποδίστως. Pro μόνιμον Aur. videtur legisse νόμιμον. — 16. ἰωμένοις] Cod. Med. pro vulg. ἰωμένῃ praebet οἰομένοις (corr. ἰωμένοις); addidi tamen τοῖς ante ταῖς καθαρτικαῖς ἀρεταῖς. Non male Ashtonus tuetur ἰωμένης quod pertinet ad ἐπιστροφῆς. Similiter Sallust. περὶ θεῶν c. 14 διὰ τῆς πρὸς τὸ θεῖον ἐπιστροφῆς τὴν ἡμετέραν κακίαν ἰώμενοι et infra Hierocles: τούτων λύσις ἡ πρὸς θεὸν ἐπιστροφή et ἐπιστροφὴ πρὸς τὸν θεῖον νόμον τὰς ἀφορμὰς περικόπτουσα τῆς ἀπειθείας. — 16. βιωτικὴ] G; βιοτικὴ M. — 18. εὐορκεῖν] MGCN; εὐ ὀρκεῖν S; εὐορκεῖ Asht. mendo typographico, quod Gaisf. inepte tanquam vulgatam lectionem citat. — 18. τοῖς] M; ταῖς G. — 20. πῶς γὰρ ἂν] M. et G; vulgo ἂν om.

λῆψιν ἢ ἀπόδοσιν εὔορκός ποτε γένοιτο; πῶς δὲ ὁ ἀκόλαστος ἢ ὁ δειλὸς ἐμμένῃ τοῖς ὅρκοις; καὶ οὐχ ὅπου δ' ἂν ἑκάτερος αὐτῶν οἰηθῇ πλέον τι ἕξειν, ἐν οἷς ἐστιν ἥττων, ἐνταῦθα τὸ σέβας τῶν ὅρκων ἀποδύσεται, θνητὰ καὶ ἐπίκηρα τῶν θείων ἀγαθῶν ἀνταλλαττόμενος; Οἷς δὲ καλῶς τὸ τῶν ἀρετῶν ἐνίδρυται κτῆμα, τούτοις εὖ καὶ τὸ σέβας τῶν ὅρκων διασώζεσθαι πέφυκε. Μελέτη δὲ ἀρίστη τοῦ τηρεῖν τὸ περὶ αὐτὸν σέβας τὸ μὴ πυκνῶς μηδὲ ὡς ἔτυχε χρῆσθαι τῷ ὅρκῳ, μηδὲ ἐπὶ τοῖς παρατυχοῦσι, μηδὲ εἰς ἀναπλήρωσιν λόγου, μηδὲ εἰς πίστωσιν διηγήματος, ἀλλ' ὡς οἷόν τε τηρεῖν αὐτοῦ τὴν χρείαν ἐν τοῖς ἀναγκαίοις τε ἅμα καὶ τιμίοις, καὶ τότε, ὅτε μηδεμία ἄλλη τῶν τοιούτων σωτηρία παραφαίνεται, εἰ μὴ διὰ μόνης τῆς ἐκ τοῦ ὅρκου ἀληθείας. Ἔσται δὲ ταῦτα πιστὰ τοῖς ἀκούουσιν, εἰ τὸν τρόπον σύμφωνον τῷ ὅρκῳ παρεχοίμεθα, καὶ μηδεμίαν ὑποψίαν καταλείποιμεν, ὡς ἄρα ποτὲ τῶν ἀνθρωπίνων πραγμάτων
pag. 32. φανείη τι μεῖζον ἡμῖν ἀληθείας, εἴτε ἀνωμότοις, εἴτε καὶ ὀμνύουσι. Τὸ δὴ σέβου ὅρκον οὐ μόνον εὐορκεῖν, ἀλλὰ καὶ ἀπέχεσθαι ὅρκου παρεγγυᾷ. Οὕτω γὰρ ἂν τηρήσαιμεν τὸ εὐορκεῖν, εἰ μὴ καταχρησοίμεθα τοῖς ὅρκοις. Καὶ γὰρ ἐν τῇ συνεχείᾳ τοῦ ὀμνύειν ῥᾳδίως ἂν μεταπέσοι τις εἰς ἐπιορκίαν· φειδοῖ

1. δὲ] M G C; δαὶ S. — 1. ὁ ἀκόλαστος] M. et G; ἀκολ. sine art. Curt. — 2. ὁ δειλὸς] M; δειλὸς sine art. G. et Curt. — 2. πῶς δὲ — ἐμμένῃ] Cod. Med; non male ex usu posterioris aetatis. Cf. Schaefer. meletem. p. 100. Curter. vitiose ἢ δειλὸς ἐμμένει ἐν τοῖς, cujus loco Codd. Gallici exhibent ἢ δειλὸς ἐμμενεῖ ἐν τοῖς; ἐμμείνειεν bene S; ἐμμένοιεν Med. Holstenii, qui citat ἐμμένειν τοῖς λόγοις ὡς νόμοις p. 49. — 2. ὅπου δ' ἂν] Hanc codd. lectionem Needhamius temere in ὅπου γ' ἂν mutavit. — 3. οἰηθῇ] sic correxi vulg. οἰηθείη. — 4. τῶν ὅρκων] Hanc membranarum scripturam Needhamius hic et paulo inferius in τοῦ ὅρκου convertit. Sed nihil mutandum. — 4. θείων ἀγαθῶν] G; θείων ἀρετῶν M. — 6. τῶν ὅρκων] Codd.; Needh. conj. τοῦ ὅρκο . — 6. διασώζεσθαι πέφυκε] M; διασώζεται G. — 7. αὐτὸν σέβας] G; αὐτοῦ δόγμα M; αὐτ̃ σέβας S. — 9. λόγου] M; χρόνου margo G. et V. — 11. τε ἅμα] M. et G; ἀναγκ. ἅμα Curt. — 11. μηδεμία] M. et G; οὐδεμία Curt. — 11. τῶν τοιούτων M; τούτων τοιούτων G male. — 12. μόνης τῆς ἐκ] G; μόνης ἐκ M. et Curt. — 15. καταλείποιμεν] G; καταλίποιμεν M. — 18. τὸ εὐορκεῖν] Cod. Med.; τὸ ἀεὶ εὐορκεῖν S G C; cujus loco Ashtonus τηρήσαιμεν ἀεὶ τὸ εὐορκεῖν scribere malebat. — 19. καταχρησοίμεθα τοῖς ὅρκοις] Curt. et G; καταχρησώμεθα τῷ ὅρκῳ M S; καταχρησοίμεθα τῷ ὅρκῳ edidit Gaisf.

δὲ τήρησις ἕπεται. Ἢ γὰρ οὐκ ὀμεῖται, ἢ ὅταν ὄμνυσιν εὐορκήσει· καὶ οὔτε ἂν ὑπὸ συνηθείας προδράμοι ἡ γλῶσσα, οὔτε ὑπὸ παθῶν ἀκρατείας ἡ διάνοια σφαλείη. Τὴν μὲν γὰρ ὁ τρόπος ὀρθώσει χρηστὸς ὤν, τὴν δὲ τὸ ἔθος τῆς ἀποχῆς τοῦ ὀμνύναι. Πρέπει δὲ τῇ προειρημένῃ τιμῇ τῶν θεῶν ἡ εὐορκία, ὡς ἀεὶ σύμφυτος καὶ ὀπαδὸς τῆς εὐσεβείας· καὶ γὰρ καὶ ὁ ὅρκος τοῦ θείου νόμου ἦν φύλαξ κατὰ τὴν τοῦ παντὸς διακόσμησιν. Τίμα οὖν τὸν νόμον ἑπόμενος αὐτοῦ τῇ διατάξει, καὶ σέβου τὸν ὅρκον τῷ μὴ προχείρως αὐτῷ καταχρῆσθαι, ἵν' ἐθισθῇς εὐορκεῖν ἐκ τοῦ μὴ εἰθίσθαι ὀμνύναι. μέρος γὰρ οὐ μικρόν ἐστι τῆς εὐσεβείας ἡ εὐορκία. Καὶ περὶ μὲν τοῦ πρώτου γένους τῶν κρειττόνων καὶ τοῦ θείου νόμου τοῦ τῆς τάξεως ἡγουμένου καὶ τοῦ συνεπομένου ὅρκου τῷ νόμῳ τοσαῦτα· ὅτι δὲ καὶ τὸ μετὰ θεοὺς γένος, ὃ ἔφαμεν ἀγγελικὸν εἶναι, δευτέρως χρὴ τιμᾶν ἐπάγει.

1. ὅταν ὄμνυσιν] ὅταν cum Indicativo a recentioribus jungi constat. Vide exempla allata in Thesaur. Paris. p. 2328. Quare non erat quod Schaeferus ad Gregor. p. 553 apud Dionys. Hal. Ant. Rom. IV. c. 6 T. II p. 650, 3 pro ὅταν ὁ πατὴρ αὐτῶν ἀπέθνησκεν legi vellet ὅτε, etsi haec legitima apud antiquiores scriptores structura est. Caeterum ὄμνυσιν exhibent Codd. G, ὀμόσει M. — 1. εὐορκήσει] M; εὐορκήσῃ G. — 2. οὔτε ἂν] M G C; ὅτ' ν" S. i. e. ὅτ' ἂν ut infra. — 2. προδράμοι] scripsi pro vulg. προδράμῃ, M: δράμοι. De reliquo bene componunt cum hoc loco Isocratis verba ad Demonicum: πολλοῖς ἡ γλῶττα προτρέχει τῆς διανοίας et Chilonis dictum τὴν γλῶτταν μὴ προτρέχειν τοῦ νοῦ apud Laërt. I, 70. — 2. γλῶσσα — ἀκρατείας] G. et Curt; γλῶττα — ἀκρασίας M; γλῶττα — ἀκρατείας S. — 3. τρόπος ὀρθώσει χρηστὸς ὢν] G. et A. qui vertit: *at mentem quidem bonae artes et mores dirigent;* M. τρόπος κρατήσει. Vulgo πρῶτος ὀρθώσει. Caeterum quod praebent Codd. Gall. jam legendum conjecerat Mer. Casaub. Pro τῆς ἀποχῆς quod posuit Needham. in edd. Par. et Lond. male scriptum est τῆς ἐποχῆς, ut in Codd. V M G. — 6. ἀεὶ] G; M S om. — 8. αὐτοῦ] G. et Curt; αὐτῇ M. — 9. ἵν'] G; ἵνα M S. — 9. ἐθισθῇς] corr. N; εἰθισθῇς S G M C. — 10. εἰθίσθαι] Cod. Med. et margo membranarum Gall; εἰσθίσθαι S; male Curterius εἰθισθῆναι, cujus loco Needhamius edidit ἐθισθῆναι. — 12. τοῦ τῆς τάξεως] Curt; καὶ τῆς τάξεως G. — 13. ὅρκου] G; ὅρκον M. — 14. ὃ ἔφαμεν ἀγγελικὸν εἶναι] S C; Curter. conj. ὃ καί φαμεν; Cod. Med. apud Ashtonum δεύτερον habet pro ἀγγελικόν, sed Gudius hanc lectionem scriptam non repperit, quamquam patet τὸ δεύτερον γένος esse ἀγαυοὺς ἥρωας, quos infra Hierocles ἀγγέλους vocat. p. 41 (p. 36 ed. Needh.). — 15. ἐπάγει] Codd; A. decenter subjungit.

III. 2.

— — — — ἔπειθ' ἥρωας ἀγαυούς.

Οὗτοι ἦσαν τὸ μέσον γένος τῶν λογικῶν οὐσιῶν, οἳ μετὰ θεοὺς τοὺς ἀθανάτους τὴν ἐφεξῆς πληροῦντες χώραν προηγοῦνται τῆς ἀνθρωπίνης φύσεως, καὶ συνάπτουσι δι' ἑαυτῶν τὰ ἔσχατα τοῖς πρώτοις. Τούτοις οὖν, ὡς δευτέροις, τὴν δευτέραν τιμὴν ἀποδιδόναι χρή, προσυπακούοντας καὶ ἐπ' αὐτῶν τὸ τί-
pag. 34. μα νόμῳ ὡς διάκειντα ι. Ἡ γὰρ ὅλη δύναμις τῆς τιμῆς ἐν τῇ γνώσει τῆς οὐσίας τῶν τιμωμένων κεῖται, ἀφ' ἧς καὶ τὸ τῶν δεόντων εἰπεῖν τι ἢ πρᾶξαι πρὸς τὰ τιμώμενα εὖ καὶ καλῶς ἐξευρίσκεται. Πῶς γὰρ ἂν διαλεχθείη τις οἷς ἀγνοεῖ; Πῶς δὲ δῶρον προςάξει τούτοις, ὧν τὴν ἀξίαν οὐκ οἶδεν; Ἡ πρώτη οὖν καὶ ὄντως τιμή, καὶ ἐπὶ τῶν ἀγαυῶν ἡρώων, ἐστὶν ἡ τῆς οὐσίας αὐτῶν καὶ τῆς τάξεως γνῶσις καὶ ἡ τῆς παρεπομένης ἐνεργείας καὶ εἰς τόδε τὸ πᾶν διατεινούσης συντελείας εἴδησις. Συμμέτρως δὲ καὶ ταῖς οὐσίαις ἐπὶ πάντων ποιεῖσθαι δεῖ τὴν τιμήν· τοῦτο δὲ ἀπὸ τῆς περὶ αὐτὰς ἐπιστήμης παραγίνεται. Ὅταν γάρ, ὡς ἕκαστα φύσεως ἔχει καὶ τάξεως, διαγνῶμεν, τότε καὶ ἑπομένως τῷ νόμῳ τὴν τιμὴν αὐτοῖς ἀποδώσομεν. Τιμήσομεν δὲ οὐδὲν τῶν χειρόνων τῆς ἀνθρωπίνης οὐσίας, ἀλλὰ μόνα προηγουμένως μὲν τὰ φύσει κρείττονα, καὶ τὰ ἴσα δέ, ἀρετῆς ὑπεροχῇ κοσμηθέντα. Ἔστι δὲ τῶν φύσει κρειττόνων πρώτιστος καὶ ἄριστος ὁ δημιουργὸς θεός, ἀσυγκρίτως τῶν πάντων προτιμώμενος. Τῶν δὲ ἐν κόσμῳ πρῶτοι οἱ ἀπ' αὐτοῦ καὶ

7. χρή] G; προςήκει M; δεῖ S. — 10. εὖ καὶ καλῶς ἐξευρίσκεται] G. et A. qui vertit; *bene et recte invenitur* atque ita Curterius scribendum conjecerat. Male Casaub. εὔκολον proposuit. Vulgo εὖ καλῶς ἐξευρίσκεσθαι. — 11. πῶς δὲ] MG; πῶς δαὶ S. — 14. τάξεως γνῶσις] M. G. et A; vulgo τάξεως αὐτῶν γνῶσις. — 16. συμμέτρως] corr. Bentlejus; vulgo εὐμέτρως, quod etiam S habet. — 17. παραγίνεται] G; γίνεται MS. — 18. διαγνῶμεν] M; διαγνῶναι G. — 19. τιμήσομεν] vulgo; τιμήσωμεν S. — 21. δέ, ἀρετῆς ὑπεροχῇ] G; δι' ἀρετῆς ὑπεροχὴν M. — 24. τῶν δὲ ἐν κόσμῳ] Cod. Med. ap. Ashton. pro vulg. (quod est etiam in S) ὡς δὲ ἐν κόσμῳ. Sed Gudius nihil repperit nisi δὲ ἐν κόσμῳ. Itaque scripsimus τῶν δὲ ἐν κόσμῳ. Curterius conjecit οἱ δὲ ἐν κόσμῳ. Sunt autem οἱ ἐν κόσμῳ πρῶτοι iidem qui ἀθάνατοι θεοί vel τῶν ἐγκοσμίων πρῶτοι et τὰ ἐν κόσμῳ πρῶτα vocantur. — 24. καὶ] G; om. MS.

μετ᾽ αὐτόν, ἀτρέπτως αὐτὸν νοοῦντες καὶ ἀπαθῶς ἐνεικονιζόμενοι τὴν ἀπὸ τῆς δημιουργικῆς αἰτίας εἰς αὐτοὺς κατιοῦσαν τῶν ἀγαθῶν μετουσίαν· οὓς ὁ παρὼν λόγος ἀθανάτους θεοὺς προςεῖπεν, ὅτι οὐκ ἀποθνήσκουσιν οὐδὲ ἀποβάλλουσι τὴν πρὸς τὸν θεὸν ὁμοίωσιν, ἀλλ᾽ ἀεὶ καὶ ὡσαύτως ἐν αὐτῇ διατελοῦσι. Μέσοι δὲ οὐσίᾳ καὶ τιμῇ οἱ νῦν λεγόμενοι ἥρωες ἀγαυοί, ἀεὶ μὲν νοοῦντες τὸν δημιουργὸν καὶ τῇ παρ᾽ αὐτοῦ εὐζωίᾳ καταλαμπόμενοι, οὐχ ὡσαύτως δὲ οὐδὲ ἀτρέπτως. Ἐν γὰρ τῷ μέσως ἡνῶσθαι πρὸς τὸν θεὸν καὶ τροπὴν ἀκάκυντον ἐπιδεχόμενοι pag. 36. ἄλλοτε ἄλλαις ἐπιβολαῖς περὶ αὐτὸν χορεύουσι καὶ τὴν ἀμετάβλητον καὶ ἡνωμένην θεωρίαν τῶν πρώτων τῇ ἑαυτῶν πεπλη-

2. κατιοῦσαν] G; κατ᾽ οὐσίαν M. — 3. προςεῖπεν] Cod. Med. et A; vulgo προεῖπεν. — 5. ἀλλ᾽ ἀεὶ — διατελοῦσι] Codd. M. G. et R. Sic et A. nisi quod ἐν αὐτοῖς legit. Vertit enim: ***sed semper et aeque in se ipsis permanent***. Vulgo haec omnia desiderantur. — 6. μέσοι δὲ οὐσίᾳ καὶ τιμῇ] M; μέση δὲ οὐσία καὶ τιμή G. — 7. τῇ παρ᾽ αὐτοῦ] M; vulgo τῇ πρὸς αὐτόν. — 8. μέσως] M; μέσω G. — 9. ἀκάκυντον] G; ἀκάκωττον (leg. ἀκάκωτον) M. — 10. ἄλλοτε ἄλλαις] M G; ἄλλοι τε ἄλλοις S. — 11. ἡνωμένην θεωρίαν — πεπληθυσμένῃ γνώσει] Sensus est, deos immortales ἀεὶ ὡσαύτως νοεῖν τὸν θεόν, heroas vero ἄλλοτε ἄλλως. Hoc autem Hierocles vocabulis e Pythagoreorum de numeris doctrina ductis paullo obscurius significavit. Nam Pythagorei qui rerum naturas et potestates ad numerorum vim, rationem et proportionem revocarent et quo quid propius longiusve ab ἀρχῇ sive monade abesset, eo plus minusve perfectionis habere censerent, similiter de astris divinitate praeditis judicabant. Quamobrem Hierocles deos hos coelestes qui ad primam causam sive monadem, siquidem μονὰς ὁ θεός, ἀμέσως accedunt, perhibet cognitionem ejus habere ἡνωμένην, id est μοναδικήν, sive ut Proclus ait, μονοειδῆ uniformem et perfectam, ἀεὶ ὡσαύτως ἔχουσαν: heroas vero in aethere longius remotos, ad quos cognitio illa per intermedios deos διεξοδικῶς transit, eam non amplius ἑνοειδῆ obtinere, sed quemadmodum numeri ab unitate ad multitudinem progrediuntur, πεπληθυσμένην i. e. ut exponit Proclus πολυειδῆ καὶ πολυμετάβολον multimodis variatam et multipliciter mutabilem, alio tempore aliam, incertam utique, mancam et imperfectam. In eandem sententiam Hierocles libr. de provid. ap. Phot. Cod. 251: τὸ μὲν ἀεὶ νοεῖν τὸν θεὸν καὶ ἡνωμένην αὐτοῦ γνῶσιν ἔχειν τοῖς οὐρανίοις πρόςεστι, τὸ δὲ ἀεὶ μέν, διεξοδικῶς δέ, τοῖς αἰθερίοις ὑπάρχει et paullo post τὴν νόησιν ἑνιαίαν εἶναι τῶν οὐρανίων, τὴν δὲ ἐν τάξει πληθυνομένην γνῶσιν τῶν αἰθερίων. Celebrant autem hoc sensu Platonici ea quae memoravimus vocabula. Sic Proclus in Tim. p. 8. B. (pag. 17. ed. Schneider): ἐν γὰρ τοῖς αἰτιωτέροις ἀεὶ καὶ θειοτέροις συνέσταλται μὲν τὸ ποσὸν καὶ ἠλάττωται τὸ πλῆθος, ὑπερβάλλει δὲ ἡ δύναμις. Καὶ ἔστι καὶ τοῦτο δόγμα τῶν Πυθαγορείων, παρ᾽ οἷς ἡ τριὰς σεμνοτέρα τῆς τετράδος καὶ ἡ τετρὰς τῆς

θυσμένῃ γνώσει διαιροῦσί τε ἅμα καὶ συνάγουσι, τὰ πέρατα τῆς ἐκείνων ἐποπτείας ἀρχὰς τῆς ἑαυτῶν ποιούμενοι μυήσεως. Οἳ δὴ καὶ εἰκότως ἀγαυοὶ ἥρωες λέγονται, ἀγαυοὶ μὲν ὡς ἀγαθοὶ ὄντες καὶ φωτεινοὶ ἀεὶ καὶ μήτ᾽ ἐν κακίᾳ μήτ᾽ ἐν λήθῃ ποτὲ γινόμενοι, ἥρωες δὲ ὡς ἐρωές τινες ὄντες καὶ ἔρωτες, οἷον ἐρω-

δεκάδος καὶ πάντες οἱ ἔσω δεκάδος τῶν μετ᾽ αὐτήν. Καὶ ἁπλῶς ὁ ἐγγυτέρω τῆς ἀρχῆς ἀρχικώτερός ἐστι, τὸ δὲ ἀρχικώτερον δυνατώτερον, ἐπείπερ ἡ πᾶσα δύναμις ἐν τῇ ἀρχῇ προείληπται καὶ παρὰ τῆς ἀρχῆς δίδοται τοῖς ἄλλοις. εἰ μὲν οὖν ἡ ἀρχὴ πλῆθος ἦν, ἔδει καὶ ἀρχικώτερον εἶναι καὶ δυνατώτερον τὸ μᾶλλον πεπληθυσμένον τοῦ ἧττονος. ἐπεὶ δὲ μονὰς ἡ ἀρχή, τὸ μοναδικώτερον κρεῖττον καὶ δυνατώτερον τῶν μᾶλλον τῆς αἰτίας ἀφισταμένων. Quod reliquum est, notat hic Hierocles, heroes suam γνῶσιν πεπληθυσμένην ad tertium quoque genus τῶν λογικῶν, id est, ad animos humanos quasi per gradus quosdam propagare atque ita suo interventu primum genus ab ultimo segregare simul et connectere, quod et supra dixerat, medium genus τῇ δι᾽ ἑαυτοῦ μεσότητι τὰ ἄκρα πρὸς ἄλληλα συνάπτειν, ὥστε τὸ πᾶν τῆς λογικῆς δημιουργίας αὐτὸ ἑαυτῷ συνδεδέσθαι καλῶς. Similiter Proclus ad Plat. Tim. p. 289 (pag. 701 ed. Schneid.) in aurea quam fingit catena τὰ δεύτερα τοῖς πρὸ αὐτῶν κατὰ τὴν ἀδιαίρετον καὶ ἡνωμένην πρόοδον ἕπεσθαι ait. — 2. ἐποπτείας — μυήσεως] Transit Hierocles ad alteram similitudinem, qua ab Eleusiniis mysteriis sumta demonstrat, quid inter deorum et heroum γνῶσιν intersit. Deos enim ἐποπτῶν instar habendos ad intimam absolutamque summi dei notitiam admitti, quum heroes dignitate inferiores μυστῶν tantum sive recens initiatorum locum teneant. — 2. τῆς ἑαυτῶν] M G C; τῆς om. S. — 2. οἳ δὴ] Ita codd. Gall. quos inspexit Curterius, qui tamen ᾧ δὴ scribendum conjiciebat. Hanc suspicionem Aurispae interpretatione confirmatam, in qua h. l. legitur *quam ob causam*, Needhamius comprobavit. At quum in praecedentibus heroum τάξις, non autem nominis ratio exponatur, quod in sequentibus fit, codicis scripturam cum Ashtono servandam esse patet. — 4. καὶ μήτ᾽] M; καὶ G. — 5. ὡς ἐρωές τινες ὄντες καὶ ἔρωτες] Sic Cod. Med; at in Vindobonensi et in Curterii codice exstat ἐρωές τινες ὄντες καὶ ἥρωες, quod editor in ἐρωτές τινες ὄντες καὶ εἴροντες mutari volebat. Hanc Curterii conjecturam temere recepit Needhamius. Sed omnibus conjecturis praestat Medicei Codicis lectio ἐρωές τινες ὄντες καὶ ἔρωτες quae vix discrepat a Platonis sententia Cratyl. p. 398 ed. Steph. δηλώσει γάρ σοι ὅτι παρὰ τὸ τοῦ ἔρωτος ὄνομα, ὅθεν γεγόνασιν οἱ ἥρωες, σμικρὸν παρηγμένον ἐστὶν ὀνόματος χάριν. Καὶ ἤτοι τοῦτο λέγει τοὺς ἥρωας, ἢ ὅτι σοφοὶ ἦσαν καὶ ῥήτορες δεινοὶ καὶ διαλεκτικοί, ἐρωτᾶν ἱκανοὶ ὄντες· τὸ γὰρ εἴρειν λέγειν ἐστίν. Quod autem Hierocles subjungit αἴροντες ἡμᾶς καὶ κουφίζοντες, duabus quarum Plato meminit notationibus tertiam addit. In quo quum illud manifestum sit, αι pronuntiari a scriptore ut ε, apparet τοὺς ἔρωας esse non solum τοὺς ἐρῶντας καὶ ἐρωτῶντας καὶ λέγοντας, sed etiam τοὺς αἴροντας καὶ κουφίζοντας. Quamobrem necesse non est cum Ashtono ἐρωές τινες ὄντες καὶ αἴρωες legi. Etymol. Magn. ἥρωες, ἀπὸ τῶν ἐρώτων, ἢ ἀπὸ τῆς ἐρωτήσεως, ἢ παρὰ τὸ ἀείρω, τὸ κουφίζω.

τικοὶ καὶ διαλεκτικοὶ ἐρασταὶ τοῦ θεοῦ, αἴροντες ἡμᾶς καὶ κουφίζοντες πρὸς τὴν θείαν πολιτείαν ἀπὸ τῆς ἐν γῇ διατριβῆς. Τοὺς δὲ αὐτοὺς καὶ δαίμονας ἀγαθοὺς καλεῖν ἔθος, ὡς ὄντας δαήμονας καὶ ἐπιστήμονας τῶν θείων νόμων, ἔστι δὲ ὅτε καὶ ἀγγέλους ὡς ἐκφαίνοντας καὶ διαγγέλλοντας ἡμῖν τοὺς πρὸς εὐζωΐαν κανόνας. Πολλάκις δὲ καὶ ταῖς τρισὶν ἐπινοίαις χρώμενοι τὸ πλάτος τοῦ μέσου γένους εἰς τρία τέμνομεν, καὶ τὸ μὲν προςεχὲς τοῖς οὐρανίοις καλοῦμεν ἀγγέλους, τὸ δὲ τοῖς ἐπιγείοις συναπτόμενον ἥρωας, τὸ δὲ ἐξ ἴσου τῶν ἄκρων ἀμφοτέρων ἀπέχον δαίμονας, ὥσπερ πολλαχοῦ ποιεῖ Πλάτων. Ἔνιοι δὲ ὅλον τὸ μέσον γένος ἑνὶ τῶν τριῶν προςαγορεύουσιν ὀνόματι, ἀγγέλους πάντας λέγοντες ἢ δαίμονας ἢ ἥρωας, δι' ἃς εἴπομεν αἰτίας, ὥσπερ καὶ νῦν τὸ μέσον γένος πᾶν ἥρωας ἀγαυοὺς εἶπεν, οὕτως ἔχοντας πρὸς τὸ πρῶτον γένος, ὡς αὐγὴ πρὸς πῦρ καὶ ὡς παῖς πρὸς πατέρα. Ὅθεν καὶ θεῶν παῖδες οἱ ἥρωες εἰκότως ἐπευφημοῦνται, οὐκ ἐκ θνητῆς συνουσίας αὐτοὶ γεννώμενοι, ἀλλ' ἐκ τῆς μονοειδοῦς αὐτῶν αἰτίας προϊόντες, οἷον φῶς τῇ οὐσίᾳ τοῦ φωτεινοῦ σώματος σύνδρομον· φῶς δὲ ὕπαιθρον καὶ καθαρόν, μεθ' ὃ ἐπινοεῖται τὸ ἐν σκιᾷ φῶς καὶ τὸ ὑποσυμμιγὲς σκότῳ γινόμενον· πρὸς ὃ τὴν ἀναλογίαν ἔχει τὸ τρίτον καὶ ἀνθρώπινον γένος τῷ εἰς κακίαν ποτὲ καὶ λήθην ἐπιῤῥεπὲς εἶναι, οἷς καὶ τοῦ ἀεὶ νοεῖν τὸν θεὸν ἀφίσταται ἄνθρωπος, τῶν μὲν ἀεὶ νοούντων ἀπολειπόμενος τῷ ποτὲ μὴ νοεῖν, τῶν δὲ ἀλόγων ἀναβεβηκὼς τῷ ποτὲ νοεῖν καὶ πρὸς τὴν θείαν ἐπιστήμην ἀνα- pag. 38.

4. δαήμονας] G. item Plat. Crat.; vulgo δαίμονας. — 5. διαγγέλλοντας] MGC; διαστέλλοντας S. — 9. τὸ δὲ] MGC; καὶ τὸ S. — 16. θνητῆς συνουσίας] M. G. et A. qui vertit: ***non quod ex mortalium conjunctione geniti sunt;*** vulgo θνητῆς οὐσίας. — 16. γεννώμενοι] Cod. Med; γενόμενοι SGC. Prius illud exprimit Aurispa *geniti*. Quod autem Hierocles dicit οὐκ ἐκ θνητῆς συνουσίας, de utroque parente intelligendum. Sequitur enim Platonem in Cratylo l. c. dicentem: πάντες γεγόνασιν, ἐρασθέντες, ἢ θεὸς θνητῆς ἢ θνητὸς θεᾶς atque in Socratis Apologia p. 27. C. οἱ δαίμονες θεῶν παῖδές εἰσι νόθοι τινές, ἢ ἐκ νυμφῶν, ἢ ἔκ τινων ἄλλων. — 18. ὕπαιθρον] Sic codd. Gall; at Cod. Med. γυμνόν. In Vindob. est γυμνὸν καθαρὸν omissa καὶ particula. — 23. τῷ ποτὲ] M; τὸ ποτὲ G. — 23. τῶν δὲ ἀλόγων — νοεῖν] M; vulgo haec omittuntur. — 24. καὶ πρὸς τὴν θείαν] Needhamius ποτὲ ante πρὸς e Cod. Med. addidit, fisus Salvinio qui olim illum librum contulit. At neque opus est repetito ποτὲ neque Gudius hanc scripturam in codice repperit. Caeterum Ashtonus et Gaisf. post

καλεῖσθαι, ὅτε καὶ τῷ θείῳ συντάττεται χορῷ τὸν ὑλικὸν φθόνον ἀποφυγὼν καὶ τὴν θνητὴν προςπάθειαν ἀποσεισάμενος. Τότε οὖν καὶ τιμῆς ἄξιος παρ' ἡμῶν ὁ τῆς θείας ἀποδοχῆς ἠξιωμένος, ὡς τὸ τῆς φύσεως ἴσον τῇ τοῦ κρείττονος μετουσίᾳ κοσμήσας. Προσήκει γὰρ τιμᾶν τῷ ἐραστῇ τοῦ θεοῦ καὶ τὰ ὁπωςοῦν ὡμοιωμένα αὐτῷ, εἴτε ἐξ ἀϊδίου τὴν ὁμοίωσιν εἴη κεκτημένα, εἴτε ἀπό τινος χρόνου τυγχάνοι ταύτην ἀσκήσαντα· οἷοί εἰσιν οἱ ἀρετῇ διενεγκόντες ἄνθρωποι, περὶ ὧν ἑξῆς ὁ παρὼν λόγος νομοθετεῖ.

IV. 3.

Τοὺς τὲ καταχθονίους σέβε δαίμονας ἔννομα ῥέζων.

Τὰς ἀνθρωπίνας ψυχὰς ἀληθείᾳ καὶ ἀρετῇ κοσμηθείσας δαίμονας καλεῖ, ὡς δαήμονας καὶ ἐπιστήμονας. Εἶτα χωρίζων αὐτὰς τῶν φύσει δαιμόνων, οἳ τὸ μέσον γένος πληροῦσι,

ἀφίσταται neglecto verborum sensu τὴν μέσην στιγμήν posuerunt, quum post ἄνθρωπος distinctionis virgula requiratur. — 1. ὅτε] Ita Curter; vulg. ὀτὲ; G. ὅτι. — 1. συντάττεται] plerique Codd; G. Vat. συνάπτεται. A: *ipsi Deo adjungitur.* — 1. φθόνον] Curterius conj. φθόρον *vitata mortali corruptione,* atque ita plane scriptum est in cod. Med. Neque tamen repudiandum exquisitius vocabulum φθόνον, quod cum in caeteris membranis tum in Vindobonensi exemplo comparet. Si recte se habet ὑλικὸς φθόρος, idem dicit scriptor quod infra significat verbis ὑλικὸς μολυσμός. Sed quoniam Hierocles spectare videtur Platonis dictum in Phaedro p. 247 φθόνος ἔξω χοροῦ τοῦ θείου ἵσταται, non est quod φθόνον temere rejiciamus. Disputat scriptor de tertio τῶν λογικῶν genere, de animis humanis quos ποτὲ νοεῖν, ποτὲ μὴ νοεῖν τὸν θεὸν ait, quia deum cognoscunt, dum extra corpora in aethere versantur, obliviscuntur autem cum ἔξω τοῦ θείου χοροῦ postquam in terram descenderunt in corporibus vitam degunt: hos vero humanos animos tunc etiam brutorum animabus eo dicit praestare, quod corporibus liberati ad dei cognitionem reverti queant atque divino choro rursus accedere, quum τὸν ὑλικὸν φθόνον effugerint, ita ut ὑλικὸς φθόνος idem sonare videatur quod ὑλικὴ *ἀλογία* in prooemio, quam τὴν τοῦ σώματος ἀφροσύνην vocat Plato in Phaedone. Atque eo fere modo Proclus in Platonis Timaeum p. 110 (p. 260 seq. ed. Schneid.) φθόνος vocabulum exponit: φθόνος γε μὴν καὶ ἡ ἔνδεια αὐτὴ τῶν ἀγαθῶν, — ὥσπερ οὖν εἴ τις ἔλεγεν ἔνδειαν νοῦ τὸν φθόνον. Quapropter φθόνος hoc loco designat rationis inopiam in materia. — 4. ὡς τὸ] G; ὡς καὶ τὸ MS. — 4. τῇ τοῦ κρείττονος] M. et A; vulgo τῇ κρείττονι. — 5. τῷ ἐραστῇ] G; τὸν ἐραστὴν M. — 6. εἴη] G; ἔχῃ M. — 7. τυγχάνοι] Mds; vulgo τυγχάνει.

καταχθονίους προςεῖπεν, ὡς δυναμένας ἐπὶ γῆς πολιτεύεσθαι καὶ γήινα σώματα ἐπεισιέναι καὶ κατὰ γῆς οἰκεῖν, ἵνα τῷ μὲν δαίμονας εἰπεῖν χωρίσῃ τῶν φαύλων καὶ ἀνεπιστημόνων ἀνθρώπων, ὡς ἀδαημόνων τινῶν καὶ οὐ δαιμόνων, τῷ δὲ καταχθονίους προςθεῖναι διαστήσῃ τῶν ἀεὶ δαημόνων καὶ ἐπιστημόνων ἀεί, καὶ ἐπὶ γῆς πολιτεύεσθαι μὴ πεφυκότων μηδὲ γηΐνοις συζῆν pag. 40.
σώμασιν. Ἡ γὰρ τοῦ καταχθονίου δαίμονος πρόσρησις οὐδενὶ ἄλλῳ προσήκει, ἢ τῷ φύσει μὲν ὄντι ἀνθρώπῳ, σχέσει δὲ γενομένῳ δαίμονι, ἐπειδὴ τὸ τρίτον γένος χθόνιον ἰδίως λέγεται, ὡς ἔσχατον ἐν λογικαῖς οὐσίαις καὶ χθονίας ζωῆς ἐπιστρεφό-

1. καταχθονίους προςεῖπεν, ὡς δυναμένας ἐπὶ γῆς πολιτεύεσθαι] καταχθονίους Hierocles non τοὺς ὑποχθονίους sed τοὺς ἐπιχθονίους vocat, haud secus atque χθονίους antiqui tam eos qui supra quam qui infra terram sunt appellant. In quo Hierocles ad Eusebii exemplum videtur se composuisse. Nam quos deos Porphyrius ex oraculis nominat χθονίους et ἐπιχθονίους, eosdem Eusebius Praep. Ev. IV, 9 et V, 2 repetens dicit περιγείους et καταχθονίους. Accedit quod etiam interpres Arabs καταχθονίους δαίμονας *genios terrestres* esse vult. Cf. Salmas. praef. ad Cebetis Tab. qui δαίμονας recte ait vocari animos humanos excellentiores, ut virtute ac veritate praestantes, sed extra corpora, id est, defunctorum jam hominum animos, ex opinione Pythagoreorum in corpora iterum redituros. Haec ratio est, cur Hierocles καταχθονίους hic intelligat ἐπιχθονίους, ἐπὶ γῆς πολιτεύεσθαι δυναμένας. Κοσμηθείσας ἀρετῇ καὶ ἀληθείᾳ dicit, id est, qui ornati fuerunt virtute et veritate, quum viverent et corporibus essent alligati. Qui animi ut distinguantur a medio genere deorum sive daemonum, qui natura tales sunt, neque unquam corpora humana subeunt, ut in terris versentur, ideo eos καταχθονίους δαίμονας a Pythagoreis vocari scriptor opinatur. Denique quum dii manes, id est defunctorum animi divinitate praediti e vulgari loquendi usu (cf. Anthol. Pal. 7, 333) καταχθόνιοι δαίμονες dicantur, quod eos sub terra esse vulgo persuasum erat, Pythagorei autem mortuorum animos in aëre versari statuerent, patet καταχθονίους δαίμονας nullo modo hic de subterraneis geniis accipi posse. — 1. προςεῖπεν] conj. Curter; vulgo προεῖπεν. — 2. ἐπεισιέναι] G; ὑπεισιέναι S in litura M. et Curter. — 3. εἰπεῖν] G. et Curter; προςειπεῖν M. — 5. προςθεῖναι διαστήσῃ] G. et M; vulgo male προςθῆναι, διαστήσει. — 6. πολιτεύεσθαι] M; τὸ πολιτεύεσθαι G. — 6. γῆς μὴ πολιτεύεσθαι πεφυκ.]
σει
M; γῆς πολιτεύεσθαι μὴ πεφυκότων G. — 8. σχέσει δὲ] MGC; σχεδὲ S. — 9. δαίμονι] Needhamius post δαίμονι haec adjecit καὶ δαήμονι τοῦ θεοῦ καὶ ἐπιστήμονι e membranis Gall. atque e cod. Med. (in quo tamen omittitur τοῦ), quae rectius abesse nemo non concedit. Desunt autem apud Curterium et in Cod. Renaud., etsi ea agnoscit liber Vindobonensis et Aurispa vertens: ***qui habitu daemon fiat deumque intelligat et cognoscat.*** — 9. ἰδίως λέγεται] G; λέγεται ἰδίως M. Curt.

μενον. Τὸ γὰρ πρῶτον οὐράνιον ἦν καὶ τὸ μέσον αἰθέριον. Πάντων οὖν ἀνθρώπων ὄντων κατὰ τοῦτο καταχθονίων λογικῶν, οὐ πάντων δὲ δαιμόνων, οὐδὲ σοφῶν, εἰκότως ἐπισυνάψας εἶπε καταχθονίους δαίμονας τοὺς σοφοὺς ἀνθρώπους. Οὔτε γὰρ πάντες ἄνθρωποι σοφοί εἰσιν, οὔτε πάντες οἱ σοφοί, ἄνθρωποι· ἀλλὰ καὶ ἥρωες ἀγαυοὶ καὶ ἀθάνατοι θεοί, φύσει κρείττονες ἀνθρώπων ὄντες, σοφοί τέ εἰσι καὶ ἀγαθοί. Τοὺς οὖν τοῖς θείοις γένεσι συντεταγμένους ἀνθρώπους σέβειν ὁ λόγος παραινεῖ, τοὺς ἰσοδαίμονας καὶ ἰσαγγέλους καὶ τοῖς ἀγαυοῖς ἥρωσιν ὁμοίους. Μὴ γὰρ φαῦλόν τι δαιμόνων γένος ὑπολάβωμεν εἰςηγεῖσθαι δεῖν τιμᾶν, ὡς ἄν τῳ δόξειεν ὑπὸ τῆς συνηθείας τὴν λέξιν ἐμφαίνειν. Ὅλως γὰρ τὰ χείρονα τῆς ἀνθρωπίνης οὐσίας οὐ καθήκει τιμᾶν τῷ ἐρωτικῶς ἔχοντι τοῦ θεοῦ καὶ τῆς ἑαυτοῦ ἀξίας ᾐσθημένῳ. Ἀλλ' οὐδὲ αὐτὸν τὸν ἄνθρωπον μετὰ τὰ κρείττονα τιμήσομεν, ἐὰν μὴ τοῖς κρείττοσιν ὡμοιωμένος ᾖ καὶ

2. ὄντων κατὰ τοῦτο καταχθονίων] Cod. Med. Gudio teste hic habet ἀνθρώπων κατὰ τοῦτο χθονίων ὄντων τούτων καὶ πάντων λογικῶν δαημόνων, omissis verbis ὡς τρίτων quae sunt in edd. prioribus atque a scriptoris mente abhorrent. Siquidem homines non sunt καταχθόνιοι, quatenus sunt τρίτοι λογικοί, sed quatenus χθονίας ζωῆς ἐπιστρέφονται. In libro Vindobonensi est: χθονίων ὡς τρίτων. Non inepte cod. M. habet δαημόνων, quod Needhamio placuit, sed praestat δαιμόνων. Quocirca cum Ashtono legendum videtur: ὄντων κατὰ τοῦτο καταχθονίων λογικῶν, οὐ πάντων δὲ δαιμόνων. — 3. πάντων] vulgo; G. πάντως. — 3. δαιμόνων] Codd. recte; Need. conj. δαημόνων. — 5. ἄνθρωποι] Curt; ἄνθρωποί εἰσιν G. M. — 7. τοὺς] M. Curt; τοῖς G. — 8. συντεταγμένους] G; συναπτομένους M. — 9. ἰσαγγέλους] G. Curt; ἀγγέλους M. — 9. τοῖς] G; om. M. — 10. φαῦλόν τι δαιμόνων γένος] Desiderabatur in edd. omnibus ante Ashtonianam vox δαιμόνων, quae, ut necessaria, e cod. Med. et G. in margine, consentiente etiam Aurispa, et libro Vindobonensi adjecta est. Ne opinemur, inquit Hierocles, carminis auctorem καταχονίους δαίμονας memorantem φαῦλόν τι δαιμόνων γένος a nobis coli postulare. Porphyrius de abstinent. II, 39 et in Epist. ad Aneb. ap. Jamblich. ed. Gale φαύλων daemonum istorum cultum plane rejicit. — 11. ἄν τῳ] Recte N; vulgo ἂν τῷ. — 11. τῆς συνηθείας] G; συνηθείας omisso articulo. M. — 11. τὴν λέξιν] καταχθονίους intelligit, quod nomen συνήθως idem valet quod ὑποχθονίους. Hoc autem sensu, quo Pluto ab Homero Il. α', 457 nominatur Ζεὺς καταχθόνιος, apparet καταχθονίους δαίμονας esse φαῦλόν τι γένος. — 12. ἐμφαίνειν] G. et M; vulgo ἐκφαίνειν. — 13. ἑαυτοῦ] MGC; ἑαυτῆς S. — 14. ᾐσθημένῳ] G; ἐπῃσθημένῳ M. — 15. τιμήσομεν] MGC; τιμήσωμεν S.

τῷ θείῳ χορῷ συμφερόμενος. Τίς οὖν ἡ τιμὴ καὶ τούτων; τὸ ἔννομα ῥέζειν, φησί. Τοῦτο δέ ἐστι τὸ πείθεσθαι οἷς καταλελοίπασιν ἡμῖν παραγγέλμασι, καὶ ὡς νόμοις ἐμμένειν τοῖς ἐκείνων λόγοις καὶ τὴν αὐτὴν ὁδὸν μετιέναι τοῦ βίου, ἣν ἐκεῖνοι διελθόντες οὐκ ἐφθόνησαν ταύτης ἡμῖν μεταδοῦναι, ἀλλ᾽ ὥσπερ τινὰ ἀθάνατον καὶ πατρῷον κλῆρον διηγωνίσαντο τοῖς μεταγε- pag. 42. νεστέροις διαφυλάξαι, τὰ στοιχεῖα τῶν ἀρετῶν καὶ τῆς ἀληθείας τοὺς κανόνας εἰς κοινὸν ὄφελος ἐν γράμμασι καταθέμενοι· οἷς τὸ πείθεσθαι καὶ ζῆν ἑπομένως, ἀληθεστέρα ἐκείνων τιμὴ γίγνεται, ἢ εἴ τις χοὰς αὐτοῖς ἐπιφέρῃ πολυτελεστάτας καὶ ἐναγίζῃ πλουσίως. Τοιαύτη μὲν ἡ τῶν κρειττόνων τιμή, ἀπὸ τοῦ δημιουργοῦ ἀρξαμένη καὶ εἰς ἀνθρώπους τοὺς ἀγαθοὺς περατουμένη διὰ μέσων τῶν οὐρανίων καὶ αἰθερίων γενῶν. Ἐπειδὴ δὲ καὶ τῶν κατὰ τὸν βίον σχέσεων πλεῖστον δεῖ ποιεῖσθαι λόγον, οἷον πατέρων καὶ συγγενῶν, (οἳ οὐ πάντως μέν εἰσιν ἀγαθοί, πάντως δὲ τὸ τίμιον ὡς πρὸς ἡμᾶς τῇ ἀξίᾳ τῆς σχέσεως κέκτηνται) τούτου χάριν ἐπήγαγε.

V. 4.

τούς τε γονεῖς τίμα, τούς τ᾽ ἄγχιστ᾽ ἐκγεγαῶτας.

Τοὺς μὲν ἀγαθοὺς ἀνθρώπους, ὡς δαιμονίους καὶ θείους, σέβειν ὁ λόγος ὑπέθετο· τοὺς δὲ γονέας καὶ τοὺς ἐγγύς τι τού-

1. τίς] G. Curt; τί MS. — 2. καταλελοίπασιν] M; ἀπολελοίπασιν G. — 7. διαφυλάξαι] G; φυλάξαι M. — 7. τῆς ἀληθείας M; G. om. articulum. — 9. τὸ] G; om. M. — 10. εἴ τις ἐπιφέρῃ — ἐναγίζῃ] Servanda videtur membranarum Gall. scriptura, quum saepe recentiores scriptores εἰ conjunctivo jungant, cujus constructionis exempla aliquot collegit Dindorfius in Steph. Thes. vol. III, 186. Nam de illo usu, qui etiam Atticis non ignotus fuit, de quo Krügerus egit Gramm. p. 192 non loquor. Infra Hierocles pag. 118 εἰ ὑπομείνωμεν. Sed Cod. Med. hic habet ἐπιφέροι. S. ἐπιφέροι — ἐναγίζοι. — 15. πάντως] Codd. G. et Curt; A. πάντες. — 16. σχέσεως] Codd. G. et A qui vertit *cognationis*; vulgo χρήσεως. — 19. τούς] G; σούς M. — 19. ἐκγεγαῶτας MGC; ἐγγεγαῶτας S. — 20. δαιμονίους] M. et Curt; δαίμονας G. — 20. θείους] G; θεοὺς M. — 21. ἐγγύς τι] Sic cod. Med. et S; reliqui simpliciter ἐγγύς. Est autem ἐγγύς τι προσήκειν τινός bonae notae junctura. Plato de Rep. VIII, p. 548 d. οἶμαι μὲν - ἐγγύς τι αὐτὸν Γλαύκωνος τουτουὶ τείνειν. cf. Phaedon. p. 65. a.

των τῇ φυσικῇ συγγενείᾳ προσήκοντας, ὁποῖοί ποτ' ἂν ὦσι, δι' αὐτὴν τὴν τῆς σχέσεως ἀνάγκην τιμᾶν εἰςηγεῖται. Ὅπερ γὰρ ἡμῖν οἱ κρείττονές εἰσι κατὰ τὴν ἀΐδιον συγγένειαν, πατέρων μὲν τάξιν ἔχοντες οἱ οὐράνιοι, συγγενῶν δὲ τιμίων οἱ ἥρωες· τοῦτο πρὸς τὸν θνητὸν βίον συντελοῦσιν ἡμῖν οἱ γονεῖς καὶ οἱ ἀγχιστεῖς, οἱ ἐγγύτατα τῶν γονέων ὄντες, καὶ διὰ τοῦτο τῇ μετὰ γονέας τιμῇ σεμνυνόμενοι. Πῶς οὖν καὶ τούτους τιμήσομεν; Ἆρα τὸν ἑαυτῶν βίον πρὸς τὴν ἐκείνων ἀπευθύνοντες γνώμην, ὥστε δοξάζειν τε ταῦτα καὶ πράττειν, ἃ ἂν ἐκείνοις εἴη φίλα; Ἀλλ' οὕτως ἂν περιτραπείη ἡ τῶν ἀρετῶν ἄσκησις πρὸς κακίας pag. 44. σπουδήν, εἰ τύχοιεν ὄντες πονηροὶ οἱ πατέρες. Ἀλλὰ ἀτιμάσομεν αὐτοὺς εἰς πάντα διὰ τὴν τῆς κακίας κατάγνωσιν; καὶ πῶς ἔτι τῷ παρόντι νόμῳ πειθόμεθα; Πῶς δὲ τὴν θεοειδῆ εἰκόνα τῶν γονέων ἢ τὴν ἡρωϊκὴν τῶν ἀγχιστέων ἔμφασιν μὴ τιμῶντες οὐκ εἰς ἐκείνους ἀσεβήσομεν, οἷς τούτους ἐοικέναι φαμέν; καὶ οὕτως ἡ δοκοῦσα δι' ἀπειθείας γονέων ἀρετὴ ἡμῖν ἀσκεῖσθαι εἰς μεῖζον κακὸν περιστήσεται, τὴν ἀσέβειαν. Πειθόμενοι δὲ πάντα γονεῦσι, πῶς οὐκ ἂν πάλιν τῆς εὐσεβείας ἀποπέσοιμεν καὶ τῆς ἄλλης ἀρετῆς, εἰ τύχοιεν ἐκεῖνοι διὰ μοχθηρίαν τρόπου μὴ πρὸς

1. τῇ φυσικῇ συγγενείᾳ] M. G. et A. qui interpretatur: propinquos naturali consanguinitate nobis attinentes; vulgo haec verba desiderantur. — 2. ὅπερ] G; τοῦτο M. — 4. οἱ οὐράνιοι] G; Curt. οὐράνιοι om. art; οἱ οὐρανοὶ M. — 5. τοῦτο πρὸς usque ad οἱ γονεῖς] om. M. — 5. οἱ ἀγχιστεῖς] G. M. Curt; om. οἱ. — 6. ἐγγύτατα G; ἐγγύτατοι MS. — 6. τῶν γονέων] M. et Curt; γονέων sine art. G. — 7. τιμήσομεν] Codd. N; τιμήσωμεν S. et Curt. in textu qui tamen p. 321 legit τιμήσομεν. — 8. τὸν ἑαυτῶν βίον] i. e. τὸν ἡμῶν βίον. Similiter Philippus in epist. ap. Demosth. de cor. p. 238 ἴστε ἡμᾶς παρεληλυθότας εἴσω Πυλῶν καὶ τὰ κατὰ τὴν Φωκίδα ὑφ' ἑαυτοὺς πεποιημένους. Alia exempla vide in Thes. Pariens. vol. III, p. 13. Caeterum Cod. Vind. male τῶν ἑαυτῶν βίον. — 9. δοξάζειν τε ταῦτα] G; ταῦτα δοξάζειν τε SM. et Curt. — 9. ἃ ἂν ἐκείνοις] S; ἃ ἐκείνοις ἂν reliqui. — 9. εἴη] G; ᾖ M. — 10. περιτραπείη — κακίας σπουδὴν] Codd. G. M. et R. Sic et A. ***virtutum usus ad malitiae studium verteretur***; vulgo περιτραπείη πρὸς κακίαν σπουδή. — 11. ἀτιμάσομεν] Cod. Vindob; ἀτιμήσομεν N; ἀτιμάσωμεν Curt. in textu qui tamen p. 321 legit ἀτιμάσομεν. — 12. εἰς πάντα] G. M. et infra p. 50 εἰς πάντα οὖν τοὺς φίλους ἀνεξόμεθα; vulgo εἰς τὰ πάντα. — 14. τιμῶντες] MG; μιμῶντες S. — 15. τούτους] M. et Curt; τούτοις G. — 18. πῶς οὐκ ἂν] Adjecimus ἂν particulam utique necessariam, quum vulgo simpliciter legatur πῶς οὐ πάλιν — ἀποπέσοιμεν.

τὰ ὄντως καλὰ παιδαγωγοῦντες ἡμᾶς; Εἰ μὲν γὰρ τοῦτο πάντως ἦν ἀληθὲς καὶ καλόν, ὃ τοῖς γονεῦσι παρίστατο, σύμφωνος ἡ τῶν γονέων τιμὴ τῇ τῶν κρειττόνων ἐγίνετο. Εἰ δὲ ἔστιν ὅτε τῶν θείων νόμων ἀνήκοός ἐστιν ἡ τῶν γονέων προαίρεσις, τί δεῖ ποιεῖν εἰς ἀντινομίαν ἐμπεσόντας τοιαύτην, ἢ τοῦτο, ὃ καὶ ἐπὶ τῶν ἄλλων καθηκόντων ἐκ περιστάσεως εἰς ἐναντίωσιν ἐλθόντων προςήκει φυλάττειν; Μειζόνων γὰρ καὶ ἐλαττόνων προκειμένων καλῶν τὰ μείζονα πρὸ τῶν ἐλαττόνων ποιεῖσθαι δεῖ, ὅταν μὴ ἀμφότερα ἐξῇ διασώζειν. Οἷον καλὸν μὲν τῷ θεῷ πείθεσθαι, καλὸν δὲ καὶ τοῖς γονεῦσι. Εἰ γοῦν ἐς ταὐτὰ ἄγοι ἡ ἀμφοτέρων πειθώ, ἕρμαιον ἂν εἴη καὶ ἄμαχον τὸ γινόμενον· εἰ δὲ πρὸς ἄλλο μὲν ὁ θεῖος νόμος, πρὸς ἄλλο δὲ οἱ γονεῖς φέροιεν, μαχομένης τῆς αἱρέσεως, τοῖς ἀμείνοσιν ἕπεσθαι δεῖ, πρὸς ταῦτα μόνον ἀπειθοῦντας τοῖς γονεῦσι, πρὸς ἃ καὶ αὐτοὶ τοῖς θείοις νόμοις οὐ πείθονται. Τὸν γὰρ φυλάττειν βουλόμενον τοὺς τῆς ἀρετῆς κανόνας οὐχ οἷόν τε τοῖς τούτους παραβαίνουσι συμφωνεῖν. Εἰς δὲ τὰ ἄλλα πάντα γονέας τιμήσο- pag. 46.
μεν ὑπερβαλλόντως, σώματος ὑπηρεσίαν καὶ χρημάτων χορηγίαν αὐτοῖς παρέχοντες ὅτι μάλιστα προθυμοτάτην. Δίκαιον γὰρ

2. τοῖς G; τῆς Curt. — 2. σύμφωνος — ἐγίνετο] Ita cod. Med; minus bene codd. Gall. συμφώνως, quod Needhamius scriptoris verbis inseruit, qui simul ἂν particulam ante ἐγίνετο addidit. At ut illam voculam si in scriptis libris reperiretur, hic non repudiaremus: ita eam omitti posse hodie satis notum est. Vid. Herm. de part. ἂν lib. I. c. 13. et Krüger. Gramm. p. 179 et 190. Imperite Curterius γένοιτο ἂν scribi volebat. — 3. ἔστιν] G. et Curt; om. M. — 5. ἐμπεσόντας] G. et Curt; πεσόντας M. — 6. τῶν ἄλλων] M. G. et A; vulgo πολλῶν. — 8. προκειμένων usque ad ποιεῖσθαι] om. M. S. — 10. εἰ γοῦν ἐς ταὐτὰ ἄγοι ἡ ἀμφ. πειθώ — ἄμαχον τὸ γινόμενον] cod. Med; in ceteris solum legitur εἰ δὴ πρὸς ταὐτὰ ἡ ἀμφ. ἄγοι πειθώ, ἕρμαιον ἂν εἴη καὶ ἄμαχον, nisi quod nonnulli male habent πρὸς ταῦτα. — 12. ἄλλο] G; ἄλλα MS. — 14. δεῖ] M. et Curt; δὴ G. — 14. τοῖς γονεῦσι] S; γονεῦσι reliqui. — 17. τιμήσομεν] Codd. plerique et Curter. p. 321, quanquam in textu habet τιμήσωμεν ut Cod. Vindob. — 19. παρέχοντες] Cod. Med; ὑπέχοντες SGC. Bene comparavit Ashtonus Herodian. III, 50 ἴσην αὐτοῖς ὑπηρεσίαν παρείχοντο et Euseb. Eccl. Theol. pag. 124 τὰς ἐξ αὐτοῦ χορηγίας παρέχειν. Adde Plat. de Legg. IV, p. 717 πάντα εἶναι τῶν γεννησάντων, πρὸς τὸ παρέχειν αὐτὰ εἰς ὑπηρεσίαν ἐκείνοις κατὰ δύναμιν πᾶσαν. — 19. ὅτι M; ὅττι G. — 19. προθυμοτάτην] Codd; Bentlejus conjecit προθυμότατον vel προθυμότατα. Sed nihil mutandum.

χρῆσθαι αὐτοὺς οἷς ἐγέννησάν τε καὶ ἔθρεψαν. Ὁ δὲ τῆς ἀπ' ἐκείνων διαδοχῆς οὐκ ἤρτηται, τοῦτο ἐλεύθερον τῆς ἀπ' ἐκείνων δεσποτείας ἀφίησιν ὁ νόμος, καὶ τὸν ὄντως πατέρα ζητεῖν παρακελεύεται, κἀκείνου ἔχεσθαι, καὶ τῆς πρὸς ἐκεῖνον ὁμοιώσεως πλείστην ἐπιμέλειαν ποιεῖσθαι. Καὶ οὕτως ἀμφότερα δύνασθαι συμβαίνει, τά τε θεῖα ἀγαθὰ δύνασθαι τηρεῖν καὶ τὰ ἀνθρώπινα. Καὶ οὔτε δι' οἴησιν ἀρετῆς γονέων θεραπείας ὀλιγωρήσομεν, οὔτε διὰ τὴν ἀνόητον ὕπειξιν τὸ μέγιστον τῶν κακῶν ἀσέβειαν εἰςδεξόμεθα. Εἰ γὰρ προτείνοιεν θάνατον μὴ πειθομένοις ἢ κλήρου ἀλλοτρίωσιν, οὐδὲν ἐκφοβεῖσθαι δεῖ τοῖς τοιούτοις, ἀλλ' εὖ εἰδέναι τί τὸ ταῦτα πεισόμενον, καὶ ὅτι ᾧ ἐγέννησαν ἀπειλοῦσι μόνῳ· τὸ δὲ ἀπαθὲς τούτων ἐλεύθερον προςήκει τηρεῖν καὶ μόνῳ θεῷ εὐπειθές. Τιμὴ οὖν γονέων ἡ ὄντως, ἣν δίδωσιν ὁ τῆς ἀρετῆς σκοπός, μήτε σωμάτων φειδομένους ἡμᾶς μήτε χρημάτων, ἀλλ' ἑκόντας αὐτοῖς ὑποτετάχθαι εἰς πάντα τὰ τοιαῦτα. Πρέπει γὰρ μήτε τὴν δι' αὐτουργίας θεραπείαν ἐπὶ γονέων παραιτεῖσθαι, ἐνευσχημονεῖν δὲ μᾶλλον αὐτῇ, ὅσῳ ἂν μᾶλλον ἐπίπονος γένηται καὶ δουλοπρεπής, μήτε οὐσίας δαπανωμένης φειδωλοὺς γίνεσθαι, ἀλλὰ πάντα πρὸς τὴν ἐκείνων

1. χρῆσθαι αὐτοὺς οἷς ἐγέννησαν] Cod. Med. et S; male edd. omnes ante Ashtonianam χρῆσθαι αὐτοῖς οὓς, spernenda etiam Beutleji conjectura αὐτοῖς οἷς. — 2. τῆς ἀπ' ἐκείνων δεσποτείας] SMGC; Ashtonus malebat simpliciter τῆς ἐκείνων δεσποτείας aut ἀπὸ τῆς ἐκείνων δεσποτείας. Sed nihil mutandum. — 6. ἀγαθὰ δύνασθαι] MS; vulgo cum Codd. G. et C. δύνασθαι ponitur inter ἀμφότερα et συμβαίνει. — 7. ὀλιγωρήσομεν] MGC; ὀλιγωρήσωμεν S. — 8. ὕπειξιν] G; ὕπεξεν M; ὕπεξιν S. — 9. εἰςδεξόμεθα] MG; εἰςδεξώμεθα S. — 9. προτείνοιεν] S; προτείνειαν GMC. — 9. θάνατον] M; θανάτου G. — 10. κλήρου] margo codd. Gall. S. et Med; reliqui βίου. — 11. ᾧ] G; ὃ MS. — 12. μόνῳ] G; μόνον M. — 12. τούτων] G; τούτου M. — 14. φειδομένους ἡμᾶς — ὑποτετάχθαι] Cod. Med; φειδομένων ἡμῶν. — ἀλλ' ἑκόντων αὐτοῖς ὑποταττομένων SC. — 16. μήτε τὴν δι'] G; δὲ μηδὲ τὴν M. — 16. ἐπὶ γονέων] plerique codd; inepte Med. ἐπηγομένην vel ἐπειγομένην, quod mirum est a Needhamio esse probatum. Melior, nec spernenda Vindobonensis libri scriptura ἐπειγομένων, quae arrisit Gaisf. Est autem ἐπειγομένων *urgentibus*, subaudi parentibus. — 17. ἐνευσχημονεῖν — δουλοπρεπής] Mds; vulgo ἀνευσχημονεῖν — ἐπίπονον γένηται καὶ δουλοπρεπές. Caeterum Gudius in cod. Med. repperit tantum εὐσχημονεῖν; ἐπίπονος et δουλοπρεπής habent etiam Codd. G. — 18. μήτε —] Cod. Med; ceteri καὶ μήτε, sed καὶ turbat sententiam. — 19. γίνεσθαι] Cod. Med; vulgo γενομένους; codd. G. γινομένους.

χρείαν ἑτοίμως παρέχεσθαι, γεγηθότας καὶ ἡδομένους ἐπὶ τοῖς εἰς ἐκείνους πόνοις τε καὶ ἀναλώμασι. Τὸ γὰρ εὐχαρίστως ταῦτα ποιεῖν καὶ τὸν τῆς ἀρετῆς διασώζει νόμον καὶ τὸν τῆς φύσεως ἀποδίδωσιν ἔρανον. Τοιαύτη μὲν ἡ τῶν γονέων τιμή. Ἡ δὲ τῶν ἀγχιστέων, δευτέρα μετ' ἐκείνην τεταγμένη, πρὸς pag. 48. τὴν τῆς φύσεως ἐγγύτητα παραμετρήσει τὴν θεραπείαν, τοσοῦτον τῆς μετὰ γονέας τιμῆς ἑκάστῳ τῶν συγγενῶν νέμουσα, ὅσον ἂν ἡ πρὸς ἐκείνους ἐγγύτης ὑποφαίνῃ· δῆλον δὲ ὅτι καὶ ἐπὶ τούτων τῆς ἀρετῆς ἀδεσπότου μενούσης.

VI. 5.

τῶν δ' ἄλλων ἀρετῇ ποιεῦ φίλον, ὅστις ἄριστος.

Μετὰ τὴν πρώτην τιμὴν τῆς ἄνω συγγενείας καὶ ἑπομένην ἐκείνῃ τὴν περὶ γονέας καὶ συγγενεῖς ἀκολούθως ὁ φιλοποιὸς παραδίδοται νόμος, τῶν ἔξω τοῦ γένους τὸν ἄριστον εἰς φιλίαν ἐκλέγεσθαι καὶ πρὸς τὴν τῶν ἀρετῶν κοινωνίαν αὐτῷ συνάπτεσθαι κελεύων, ἵνα τὸν ἀγαθὸν ἄνδρα δι' ἀγαθὴν αἰτίαν ἔχωμεν φίλον, καὶ μὴ κατ' ἄλλας χρείας αὐτὸν οἰκειώμεθα, ὥστ' ἐοικέναι τὸ παράγγελμα τοῦτο τῇ περὶ τῶν μετηλλαχότων τὸν βίον σπουδαίων ἀνδρῶν ὑποθήκῃ. Ὡς γὰρ ἐκεῖ τοὺς ἐπιστήμονας μόνους τῶν ἀνθρώπων ἔλεγε δεῖν τιμᾶν· οὕτως ἐνταῦθα τοὺς

4. ἡ τῶν γονέων] G; ἡ γονέων S. et Curt. — 8. ὑποφαίνῃ] M; ὑποφαίνει G. — 8. δῆλον δὲ ὅτι — μενούσης] Codd. G. S. et A. qui vertit: ***manifestum enim est quandoquidem et in his libera et sine domino virtus existit.*** In Anglica interpretationis Dacerianae editione typographi errore ἐστί exhibetur pro ὅτι, quod in Needhamii textum irrepsit neque ab Ashtono emendatum est. Vulgo desunt haec verba. — 12. τῆς ἄνω συγγενείας] Cod. Med. et S; vulgo τῆς πρώτης. Differunt autem haec eo quod ἡ πρώτη συγγένεια immortalium deorum cognatio est, quam Plato Tim. p. 90 τὴν ἐν οὐρανῷ συγγένειαν appellat, contra ἡ ἄνω triplicem τῶν κρειττόνων συγγένειαν complectitur, h. e. non tantum τῶν οὐρανίων, sed etiam τῶν μονίμων αἰθερίων καὶ τῶν μεταπιπτόντων, qui ἀθάνατοι θεοί, ἥρωες et καταχθόνιοι δαίμονες vocantur. Haec illa est ἀΐδιος συγγένεια, de qua secundum tres hasce σχέσεις supra Hierocles exposuit et quam paulo post ἀθάνατον συγγένειαν dicit. — 14. τῶν ἔξω τοῦ γένους] G. et A; vulgo τὸν ἔξω τοῦ γένους. — 14. τὸν ἄριστον] M. et G; Curt. ἄριστον. — 15. ἐκλέγεσθαι] G; om. M. — 16. ἔχωμεν] Sic correxi vulg. ἔχοιμεν, quod non congruit sequenti οἰκειώμεθα. — 17. ὥστ' ἐοικέναι] Cod. Med; ὡς vulgo; ὥσπερ S. — 20. τῶν ἀνθρώπων] M. et A; ἀνθρώπων omisso articulo G; vulgo ἀνθρώπους.

ἀγαθοὺς φιλοποιεῖσθαι παραινεῖ μόνους, διδοὺς ἐπὶ μὲν τῶν ἄλλων ἐκλογήν, ἐπὶ δὲ γονέων καὶ συγγενῶν ἀρκούμενος τῇ φύσει. Ἁπλῶς γὰρ τὸ πρόσωπον τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ συνεισάγει τὴν τιμήν, ἐπὶ δὲ τῶν ἄλλων ἡ ἀρετὴ ποιεῖ τὸ τίμιον, ὥσπερ καὶ ἐπὶ τῶν ἐκ τοῦ βίου ἀπελθόντων. Τὰ δὲ πρὸ τούτων κατ' αὐτὴν τὴν φύσιν ἐστὶ τίμια, ἐκεῖ μὲν θεοὶ καὶ ἥρωες, ἐνταῦθα δὲ πατέρες καὶ συγγενεῖς, ἐν θνητῇ φύσει τῆς ἀθανάτου συγγενείας ἡμῖν εἰκόνας προτείνοντες. Τοιαύτη μὲν ἡ πρώτη θήρα καὶ ἡ κτῆσις τοῦ φίλου. Τίς δὲ ἡ τήρησις αὐτοῦ ἡ πρὸς κοινωνίαν τῶν ἀγαθῶν ἡμῖν συντελοῦσα, καὶ τίς ἡ ἀπόθεσις, pag. 50. ἐὰν πρὸς τὸ χεῖρον μεταβαλλόμενος φαίνηται καὶ μὴ πειθόμενος ταῖς πρὸς τὸ βέλτιον ἀγούσαις συμβουλίαις, ἑξῆς λέγει.

VII. 6—8.

Πραέσι δ' εἶκε λόγοις ἔργοισί τ' ἐπωφελίμοισι.
Μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.

Πῶς δεῖ προςφέρεσθαι τοῖς φίλοις ἐνταῦθα διαλέγεται, καὶ πρῶτον μὲν ὅτι τὰ καλὰ εἰςηγουμένοις αὐτοῖς καὶ ἐπ' ὠφελείᾳ τῇ ἡμετέρᾳ πράττουσιν ὁτιοῦν ἑκόντας δεῖ πειθαρχεῖν. Πρὸς γὰρ τοῦτο τὸ κοινωνικὸν ἀγαθὸν ὁ τῆς φιλίας συνάπτει νόμος, ὅπως ἡμεῖς τε ὠφελώμεθα παρ' ἐκείνων εἰς ἀρετῆς ἐπίδοσιν καὶ παρ' ἡμῶν ἐκεῖνοι. Ὡς γὰρ κοινὴν ὁδὸν τοῦ ἀρίστου βίου πορευομένους, ὅπερ ἂν ἄλλος ἄλλου προΐδῃ μᾶλλον, τοῦτο εἰς κοινὸν ὄφελος κατατίθεσθαι δεῖ, πράως μὲν εἴκοντας τοῖς κα-

1. φιλοποιεῖσθαι] G; φίλους ποιεῖσθαι M. — 1. ἐπὶ] G; ἀπὸ M. — 4. τὸ τίμιον] Cod. Med. et S; vulgo τίμιον omisso articulo. — 5. ἐκ τοῦ βίου] Codd. et edd; ἐκ τοῦ S. marg. p. m. — 8. πρώτη θήρα] Cod. Med; θήρα πρώτη CS. — 9. τίς δὲ] vulgo; τίς δαὶ S. — 12. ἑξῆς λέγει] G; ἑξῆς δὲ λέγει M. — 14. ἐπωφελίμοισι] G; ἐπωφελείοισι M; ἐπωφελίαισι S. — 17. διαλέγεται] G; προςδιαλέγεται M. — 19. ἑκόντας] G; ἑκόντ̊ S; ἕκαστον Mh M; ἕκαστος Salv; εἴκοντας conj. Holstenius. — 20. κοινωνικὸν ἀγαθὸν] Cod. Med; vulgo κοινὸν ἀγαθόν. — 21. τε] M. G; γε Curt. — 22. ὡς γὰρ κοινὴν —] Vulgatam reliquimus lectionem firmatam etiam Vind. auctoritate, nisi quod προειδῇ cujus loco Curt. Needh. et Gaisf. male προείδῃ exhibent, mutavimus in προΐδῃ. Cod. Mediceus habet εἰς κοινὴν γὰρ ὁδὸν — προΐδοι μᾶλλον, G. ἄλλων προήδη; S. μᾶλλον προείδῃ inverso ordine. — 23. τοῦτο εἰς] S; τοῦτο καὶ εἰς reliqui.

λῶς ὑφηγουμένοις τῶν φίλων, πράως δὲ αὐτοῖς τῶν καλῶν τὴν κοινωνίαν προτείνοντας, περὶ δὲ χρημάτων ἢ δόξης ἤ τινος ἄλλου τῶν ἐκ τῆς θνητῆς συστοιχίας μηδεπώποτε αὐτοῖς διαφερομένους. Τοῦτο γὰρ ἦν ἁμαρτάδος εἵνεκα μικρῆς εἰς ἀπέχθειαν καθίστασθαι τοῖς περὶ τὰ μέγιστα ἀγαθὰ φίλοις ἡμῖν ὑπάρχουσιν. Εἰς πάντα οὖν τῶν φίλων ἀνεξόμεθα, ὡς ὑπὸ μεγίστης ἀνάγκης τῆς φιλικῆς διαθέσεως πιεζόμενοι, πλὴν ἑνός. Οὐ γὰρ δὴ καὶ πρὸς τὸ χεῖρον ὑποφερομένοις αὐτοῖς εἴξομεν, οὐδὲ μεταβαλλομένοις ἐκ τῆς περὶ φιλοσοφίαν σπουδῆς εἰς ἑτέραν τινὰ τοῦ βίου πρόθεσιν ἐπακολουθήσομεν καὶ αὐτοὶ συνεκφερόμενοι τοῖς ἀποπίπτουσιν ἀπὸ τοῦ πρὸς ἀρετὴν σκοποῦ, ἀλλὰ μάλιστα μὲν πάσῃ μηχανῇ πειρασόμεθα τὸν φίλον ἐπαν- pag. 52. ορθώσασθαι· μὴ πείθοντες δὲ ἡσυχίαν ἕξομεν, οὔτε ἐχθρὸν ποιούμενοι διὰ τὴν προϋπηργμένην φιλίαν, οὔτε φίλον ἔτι διὰ τὴν πρὸς τὸ χεῖρον μεταβολήν. Ὥστε τούτου χάριν τὸν φίλον ποτὲ ἀποθησόμεθα, ὡς μηκέτι δυνάμενον εἶναι κοινωνὸν ἡμῖν ἀρετῆς, ἧς ἕνεκα καὶ τὴν ἀρχὴν φίλον αὐτὸν ἐποιησάμεθα. Ἡ δὲ ἀπόθεσις φυλαττέτω τὸ μὴ εἰς ἔχθραν μεταπεσεῖν. Δεῖ γάρ, εἰ καὶ ἐκεῖνος τῆς φιλίας ἑαυτὸν ὑπεξήγαγεν, ἡμᾶς γοῦν πλείστην ἐπιμέλειαν ποιεῖσθαι, ὅπως ἐπανακληθείη πρὸς τὸ δέον, οὐκ ἀγαπῶντας τὴν ἀπόπτωσιν τοῦ φίλου οὐδὲ ὑπερφρονοῦντας τὸ καταδεὲς αὐτοῦ τῆς γνώμης, ὀδυρομένους δὲ μᾶλλον καὶ θρηνοῦντας ὑπεραλγεῖν αὐτοῦ καὶ ὑπερεύχεσθαι, καὶ πάντα πειρᾶσθαι ποιεῖν τὰ πρὸς τὴν ἐκ μεταμελείας σωτηρίαν αὐτὸν

1. αὐτοῖς] G; αὐτῶν M. — 4. ἁμαρτάδος εἵνεκα μικρῆς] Codd. omnes; Simplicius Comm. in Epictet. Enchir. p. 204 ed. Salmas. legit οὕνεκα μικρᾶς. — 5. ἡμῖν] G; om. M. — 6. τῶν φίλων] G. Mh. Vat; τοῦ φίλου M. 1. M. 2; τὸν φίλον S. Salv.; τοὺς φίλους vulgo. — 7. φιλικῆς] G. et Curt; φυσικῆς M. — 8. δὴ] MGC; δεῖ S. — 8. ὑποφερομένοις] G; ἀποφερομένοις M. — 9. περὶ] Vat; π S; πρὸς M G C. — 12. πάσῃ] MGC; πᾶσι S. — 13. ἕξομεν] Codd; ἕξωμεν male Curt. — 19. εἰ καὶ ἐκεῖνος] Ita jam correxit Ashtonus vulgatam scripturam εἰ κἀκεῖνος quae etiam in Vindobonensi libro est. Nam sententiae ratio flagitat *etiamsi*. — 19. ἑαυτὸν] G; om. M. — 20. ὅπως] MGC; ὅπως ἂν S. — 23. θρηνοῦντας ὑπεραλγεῖν] M; vulgo θρηνοῦντας τοῦ ὑπεραλγεῖν; τ̃ ὑπερ αλγεῖν S; τῷ ὑπ. Salv. Mh. — 24. μεταμελείας σωτηρίαν] GM; vulgo μεταμελείας εἰς σωτηρίαν.

ἐπανάγοντα. Τοιαῦτα δέ ἐστι τὸ μήτε περὶ χρημάτων μήτε περὶ δόξης αὐτῷ διαφέρεσθαι, καὶ τὸ μὴ ἐφ' ὕβρει τῆς κοινωνίας αὐτὸν ἀποστερεῖν, μηδὲ φιλοτιμίαν ἑαυτοῦ ποιεῖσθαι τὴν ἐκείνου δυστυχίαν. Ἐπειδὴ δὲ καὶ πρὸς τὴν ἀρίστην τῶν φίλων τήρησιν καὶ πρὸς τὴν εὔλογον ἀπόθεσιν καὶ πρὸς τὴν ἐκ μεταμελείας αὐτῶν ἐπανάκλησιν πλεῖστα συμβάλλεται τὸ ἡμέτερον ἀνεξίκακον καὶ περὶ μηδενὸς πρὸς τοὺς φίλους μικρολογούμενον, μηδὲ ἐξεταστικὸν πρὸς ἀκρίβειαν, ἀλλ' ὅσον οἷόν τε ὑπομονητικόν· διὰ τοῦτο ἐπήγαγεν ὄφρα δύνῃ. Εἶτα ἵνα μὴ τὴν δύναμιν τῷ τῆς προαιρέσεως μέτρῳ κανονίσῃ τις, ἀλλ' αὐτῷ τῷ τῆς φύσεως φορητῷ, ὅσον ἡ ἀνάγκη προσελθοῦσα ἐξευρίσκει, ἐπήγαγε δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει. Ἕκαστος γάρ, ὧν οἴεται δύνασθαι, πλέον δυνάμενος ὑπὸ τῆς ἀνάγκης ἐλέγχεται. Τοσοῦτον οὖν προθυμεῖσθαι χρὴ τῶν φίλων ἀνέχεσθαι, pag. 54. ὅσον ἡ ἀνάγκη δείκνυσιν ἡμᾶς δυναμένους, καὶ τό γε ἐξαίφνης ἀφόρητον φανὲν τῇ τῆς φιλίας ἀνάγκῃ φορητὸν ποιεῖν. Μὴ γὰρ δή που τὰ πρὸς βίαν ἐπιταττόμενα μόνα οἰώμεθα προσήκειν γενναίως ὑπομένειν, ἀλλὰ καὶ τὰ πρὸς φυλακὴν τῶν φίλων καὶ ἀνάκλησιν συντείνοντα μείζονος ὑπομονῆς ἄξια δεῖ τίθεσθαι, ὡς τῆς θείας ἀνάγκης ἐπιτάγματα. Δυνατωτέρα δὲ παρὰ τοῖς εὖ φρονοῦσιν ἡ τοῦ νοῦ ἀνάγκη τῆς ἔξωθεν βίας. Εἴτε οὖν πρὸς τὴν ἐκ περιστάσεως ἀνάγκην ἀπίδοις, εἴτε πρὸς τὴν ἑκούσιον, τὴν ἐκ τῶν ἐπιστημονικῶν ὅρων συμπληρουμένην καὶ ἐκ τῶν

1. τοιαῦτα] M. S; ταῦτα G C; τοιαῦτα δέ ἐστιν τὸ μήτε π. χρ. μήτε π. δ. Codex nescio quis ap. Holst. — 1. τὸ μήτε περὶ — δυστυχίαν] Sic se habet Codicis Medicei lectio, cui interposui Bentleji emendationem qui pro τῷ μὴ ἐφ' ὕβρει poni jusserat τὸ μὴ ἐφ' ὕβρει. Vulgo: τῷτε περὶ χρημάτων ἢ δόξης αὐτῷ μὴ διαφέρεσθαι, καὶ τῷ, μὴ — φιλοτιμίαν τὴν ἑαυτοῦ δυστυχίαν ἡγεῖσθαι. Codd. G. etiam μηδὲ δὴ φιλοτιμίαν pro μηδὲ φιλοτιμίαν habent; S. pro τὸ μήτε exhibet τότε τ. Pro τῷτε Holst. conj. τό τε. — 1. μήτε περὶ δόξης αὐτῷ διαφ.] MGC; ἢ δόξης αὐτῷ μὴ διαφ. S; αὐτῷ διαφ. καὶ μὴ ὑφ. ὕ. Med. 2. — 4. δυστυχίαν] MGC; δυστυχείαν S. — 4. ἐπειδὴ δὲ καὶ] G; καὶ om. M. — 5. καὶ πρὸς τὴν] S; καὶ τὴν MGC. — 8- ἀλλ'] G; εἶναι ἀλλ' M. — 10. τῷ] G. M; om. Curt. — 14. τῶν φίλων] MGC; τὸν φίλων S. — 15. τό γε] MGC; τότε S. — 16. φανὲν] G; φαμὲν M. — 16. Μὴ γὰρ — οἰώμεθα] GM; vulgo μ. γ. οἰόμεθα. Caeterum μόνα om. MS. — 18. γενναίως] G; βεβαίως M. — 20. παρὰ] G; om. M. — 22. ἀπίδοις] MGC; ἀπείδοις S.

θείων νόμων καθήκουσαν, ἐξευρήσεις τὸ ἐνυπάρχον σοι τῆς δυνάμεως μέτρον, ὃ νῦν ὁ λόγος εἰςηγεῖται δεῖν τοῖς φίλοις προςφέρειν, ἐν τῷ προστάττειν μὴ προχείρως αὐτοῖς εἰς ἀπέχθειαν καθίστασθαι ἁμαρτάδος εἵνεκα μικρῆς, τὰ ἔξω τῆς ψυχῆς πάντα μικρὰ θέμενος καὶ ἀπαγορεύων μὴ φειδοῖ τούτων τὸν φίλον ἐχθρὸν ποιεῖν, ἀδιαφορίᾳ δὲ μᾶλλον τῇ περὶ τὰ τοιαῦτα καὶ τὸν ἀποπεσόντα φίλον ἀνακαλεῖσθαι καὶ πανταχοῦ τοῦτο ἑαυτοῖς συνειδέναι, ὅτι ὅσον ἐφ' ἡμῖν καὶ τοὺς ὄντας φίλους ἐτηρήσαμεν καὶ τοὺς πρὸς τὸ χεῖρον ὑπενεχθέντας ἀνεκτησάμεθα, καὶ οὔτε τὴν ἀρχὴν εἰς ἔχθραν τινὰ κατεστήσαμεν, οὔτε παρ' ἑαυτοῦ γενόμενον ἐχθρὸν τοῖς ἴσοις ἠμειψάμεθα. Ταῦτα γὰρ ὁ τῆς φιλίας ὑπαγορεύει θεσμός, μεγίστης οὔσης ἀρετῆς καὶ ταῖς ἄλλαις ὡς τελειότητος ἐπιφαινομένης. Πέρας μὲν γὰρ τῶν ἀρετῶν ἡ φιλία, ἀρχὴ δὲ ἡ εὐσέβεια. Καί ἐστιν ὁ τῆς εὐσεβείας λόγος σπέρμα τῶν ἀγαθῶν ἁπάντων ἡμῖν· ἡ δὲ τῆς φιλίας ἕξις ὁ τελειότατος τῶν ἀρετῶν καρπός. Ὥςπερ οὖν δικαιοσύνης ποιεῖσθαι δεῖ λόγον οὐ μόνον πρὸς τοὺς δικαίως ἡμῖν pag. 56.
προςφερομένους, ἀλλὰ καὶ πρὸς τοὺς ἀδικεῖν ἐγχειροῦντας, ἵνα μὴ τῷ ἀνταδικεῖν εἰς τὴν ἴσην καχεξίαν αὐτοῖς ἔλθωμεν· οὕτω καὶ τῆς φιλίας ἀντέχεσθαι δεῖ, τοῦτ' ἔστι τῆς φιλανθρωπίας τῆς πρὸς ἅπαντας, οἳ τοῦ γένους ἡμῖν κοινωνοῦσιν. Ἐν τάξει δὲ τῇ πρεπούσῃ τὰ τῆς φιλίας μέτρα ποιησόμεθα, τοὺς μὲν ἀγαθοὺς ὡς ἀποσώζοντας τὴν τοῦ ἀνθρώπου τελειότητα καὶ διὰ τὴν φύσιν καὶ διὰ τὴν γνώμην παντοίως ἀσπαζόμενοι, τοὺς δὲ

2. μέτρον] M. G; vulgo μέτρῳ. — 2. προςφέρειν] Cod. Med; εἰςφέρειν GCS. Sed melius est προςφέρειν. Ita Simplicius in Epictet p. 204 ed. Salmas. χρὴ τὴν συγγνώμην πιστὴν καὶ ἔργῳ καὶ λόγῳ προςφέρειν αὐτῷ. — 3. ἀπέχθειαν] MGC; ἀπέχνειαν S. — 9. ὑπενεχθέντας] M; ἐπενεχθ. G. — 12. ὑπαγορεύει] G; ἀπαγ. MS. — 13. τελειότητος] Servavimus vulgatam scripturam, quam et Vindobonensis liber agnoscit, sed cujus loco Cod. Med. exhibet τελειοτάτης, uti Curterius legendum conjecerat. A. vertit: ***perfecte apparet.*** — 13. ἐπιφαινομένης] M; ὑποφ. G. — 14. ἡ εὐσέβεια] M. G; Curt. om. art. — 17. δικαίως] Interpolator Cod. G. et A: ***non solum erga illos qui juste nobiscum versantur;*** vulgo δικαίους. — 20. τῆς πρὸς ἅπαντας] Sic Cod. Med; reliqui τῆς articulum omittunt. — 22. ποιησόμεθα] N. et Asht; ποιησώμεθα Curt. in textu, qui p. 321 in Corrigendis iterum ποιησώμεθα pro ποιησόμεθα scribit. — 22. τοὺς μὲν ἀγαθοὺς] M; τοὺς μὲν γὰρ ἀγ. G. — 24. καὶ διὰ τὴν γνώμην] Cod. Med. et S; in ceteris desideratur διὰ praepositio.

φαύλους ὡς μηδὲν ἀπὸ γνώμης εἰς αἵρεσιν φιλίας ἡμῖν ὑπέχοντας διὰ μόνην τὴν κοινὴν φύσιν ἀγαπῶντες. Διὸ καὶ λέγεται ὀρθῶς, ὡς οὐδεὶς ἐχθρὸς τῷ σπουδαίῳ, καὶ μόνος ὁ ἀγαθὸς ἀγαθῷ φίλος. Ὡς μὲν γὰρ τὸν ἄνθρωπον φιλῶν, οὐδὲ τὸν κακὸν ἐχθρὸν τίθεται, ὡς δὲ τὸν ἀρετῇ κεκοσμημένον ζητῶν πρὸς κοινωνίαν τὸν ἀγαθὸν ἐκ πάντων ἐκλέγεται, μιμούμενος καὶ ἐν τοῖς τῆς φιλίας μέτροις τὸν θεόν, ὃς μισεῖ μὲν οὐδένα ἄνθρωπον, τὸν δὲ ἀγαθὸν διαφερόντως ἀσπάζεται. Τὸ γὰρ τῆς φιλανθρωπίας ἀγαθὸν κοινῇ τῷ γένει προτείνων τῆς προσηκούσης μοίρας ἕκαστον ἀξιοῖ, τοὺς μὲν ἀγαθοὺς πρὸς ἑαυτὸν ἀνάγων, τοὺς δὲ τῆς ἀρετῆς φυγάδας τοῖς τῆς δίκης νόμοις πρὸς τὸ δέον ἀπευθύνων. Τοῦτο γὰρ τοῖς ἑκατέροις σύμμετρόν τε καὶ ὠφέλιμον. Οὕτω καὶ ἡμᾶς προσήκει τὴν φιλίαν τηρεῖν πρὸς πάντας ἀνθρώπους μετὰ τῆς πρὸς τὴν ἀξίαν ἀπονεμήσεως.

Καὶ γὰρ σωφροσύνην καὶ δικαιοσύνην πρὸς ἅπαντας ἕξομεν, καὶ οὐ πρὸς μόνους τοὺς δικαίους καὶ σώφρονας· οὐδὲ ἀγαθοὶ

1. ὡς μηδὲν] G; ὡς ἂν μηδὲν MS. — 1. ἡμῖν ὑπέχοντας] G. M; vulgo om. ἡμῖν. — 2. διὰ μόνην] M. et Aurisp.: — ***ob solam communem naturam amabimus.*** Vulgo διὰ δὲ μόνην. — 3. ὡς οὐδεὶς] MGC; ὡς ὅτι οὐδεὶς S. Vid. Stob. 86, 25 p. 201, 7 n. d. ed. Oxon. — 3. καὶ μόνος ὁ ἀγαθὸς ἀγαθῷ φίλος] Curterius male edidit αὐτῷ φίλος ***sibi amicus,*** quod Needhamius e conjectura mutavit in αὐτῷ φίλος ***ei amicus*** scil. τῷ σπουδαίῳ. Sed bene perspexit Ashtonus duas hic ab Hierocle conflari sententias Pythagoricas, quarum altera est οὐδεὶς ἐχθρὸς τῷ σπουδαίῳ et quae a Sexto Pythagorico in Orell. opusc. vett. Gr. sent. et mor. vol. I p. 253 sic exprimitur: ***neminem inimicum deputes,*** altera est μόνος ὁ ἀγαθὸς ἀγαθῷ φίλος. Quare pronominis loco legendum videtur ἀγαθῷ, sic autem distinguendum: σπουδαίῳ, καὶ μόνος ὁ ἀγαθὸς ἀγαθῷ φίλος. Ita Plato in Lyside p. 214 ἀγαθὸς ἀγαθῷ μόνος φίλος. Max. Tyrius diss. 4. ὁ μὲν ἀγαθὸς ἀγαθῷ φίλος, ἴσος γάρ. — 3. ὁ] G; om. M. — 4. ὡς μὲν γὰρ κ. τ. λ.] M; vulgo εἰ μὲν γὰρ — φιλεῖ, — εἰ δὲ — ζητεῖ —. Curter. pro ἄνθρωπον conj. ἀγαθὸν sensu loci non perspecto. Nam homo propter humanae naturae excellentiam, quam nobiscum habet communem, amandus est. Quod Gaisf. scripsit ᾗ μὲν γὰρ — φιλεῖ — ᾗ δὲ — ζητεῖ non legitur in membranis. Nam in cod. Vindob. est: μόνος ἀγαθὸς αὐτῷ φίλος. ἡ μὲν γὰρ τ. ἄ. φιλεῖ, — ἡ δὲ τ. ἀ. κ. ζητεῖ. — 8. δὲ] GMC; om. S. — 9. κοινῇ] M. G; vulgo κοινῷ. — 10. πρὸς ἑαυτὸν ἀνάγων] M. et Curter.; G. πρὸς ἑαυτοὺς ἀνάγων. — 12. τοῖς] Curt; om. M. G. S. — 13. οὕτω] MGC; οὕτως οὖν S. — 13. προσήκει τὴν φιλίαν τηρεῖν] M. G. et A: ***sic et nos decet erga omnes homines — amicitiam servare;*** vulgo προσοίσει. — 16. οὐ πρὸς μόνους] G. et Curt; οὐ μόνον πρὸς M.

μὲν τοῖς ἀγαθοῖς ἐσόμεθα, κακοὶ δὲ τοῖς κακοῖς. Οὕτω γὰρ ῥᾳδίως συμμεταβαλλόμενοι τοῖς προςπίπτουσιν οὐδὲν οἰκεῖον ἕξομεν ἀγαθόν, ὃ διὰ παντὸς καὶ πρὸς πάντας τηρήσομεν. Εἰ δὲ ἕξιν τὴν ἀρετὴν κεκτήμεθα, οὐκ ἔστιν ἐπὶ τῷ βουλομένῳ ταύτης ἡμᾶς ἀποστῆσαι· οὐδὲ τοῖς ἐντυγχάνουσι τὰς διαθέσεις συναλλοιώσομεν, τὸ μόνιμον τῆς ἀρετῆς εὐτυχοῦντες. Ὅπερ pag. 58. οὖν ἐπὶ τῶν ἄλλων ἀρετῶν, τοῦτο καὶ ἐπὶ τῆς φιλίας δεήσει φυλάττειν, φιλίας, ὡς ἔφαμεν, μεγίστης οὔσης ἀρετῆς, φιλανθρωπίας δὲ κοινῶς μὲν πρὸς ἅπαντας, ἰδίως δὲ πρὸς τοὺς ἀγαθοὺς θεωρουμένης, ὅτι καὶ τὸ τῆς φιλανθρωπίας ὄνομα αὐτῇ μᾶλλον ἐπιπρέπει. Ταῦτα δὲ περὶ τούτων, ἐπὶ δὲ τὰ ἑξῆς προΐωμεν.

VIII. 9—11.

Ταῦτα μὲν οὕτως ἴσθι· κρατεῖν δ' εἰθίζεο τῶνδε·
γαστρὸς μὲν πρώτιστα καὶ ὕπνου λαγνείης τε
καὶ θυμοῦ.

Συστέλλειν δεῖ ταῦτα πάντα καὶ τάττειν, ἵνα μὴ παρενοχλῇ τὸν λογισμόν. Φέρε οὖν, τὴν ἀλογίαν ὅλην ἐν τάξει χαλινώσωμεν ὀρθαῖς παιδαγωγίαις, ἐπειδὴ καὶ τὰ ταύτης μέρη χορηγά ἐστι κακίας ἀλλήλοις ἐφεξῆς. Οἷον γαστὴρ ἄγαν πληρουμένη ὕπνον πολὺν ἐπάγεται· ἀμφότερα δὲ ἀφθονίαν παρέχεται σπέρματος, ἥτις ἀμέτρως ἐγείρει πρὸς ἀφροδίσια καὶ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς πρὸς τὸ ἀκόλαστον ἐποξύνει. Τούτῳ δὲ τὸ θυμικὸν συνεκφερόμενον διὰ πάσης ἴεται μάχης, νῦν μὲν σιτία

6. μόνιμον] M; νόνιμον G. — 6. ὅπερ οὖν ἐπὶ τῶν ἄλλων ἀρετῶν, τοῦτο καὶ ἐπὶ τῆς] Cod. Med; male Curter. ὅπερ καὶ ἐπὶ [sic S] —, τοῦτο δὲ καὶ ἐπὶ —; ὅπερ δὲ V Mh, ubi simul δὲ post τοῦτο deletum videtur. — 7. δεήσει] G. et Curt; πρέπει M. — 8. φιλίας] Interpolator Cod. G., quemadmodum conjecerat Curterius. Cf. Hierocl. p. 54. Vulgo ut in S. φιλανθρωπίας. — 8. μεγίστης οὔσης] M; οὔσης μεγ. G. S. — 8. ἀρετῆς] M G C; ἀρετῶν S. — 10. φιλανθρωπίας] Curter; φιλίας M. G. S. — 11. ἐπιπρέπει] Mds; ἐπιτρέπει S G C. — 11. ταῦτα δὲ] M; ταῦτα καὶ G. — 11. ἐπὶ δὲ τὰ ἑξῆς προΐωμεν] correxit Ashtonus; vulgo ἐπὶ δὲ τῶν ἑξῆς. — 18. τὴν] M. G; om. Curt. — 18. χαλινώσωμεν] G; χαλινώσομεν M. — 23. πρὸς] G; καὶ M. — 24. συνεκφερόμενον] G; vulgo συνεμφερόμενον.

καὶ ποτὰ ἐκδικοῦν, νῦν δὲ περὶ ἑταίρας μαχόμενον καὶ ἄλλοτε ἄλλας ἡδονὰς φιλονεικοῦν κτήσασθαι. Κρατεῖν οὖν ἐθίζου τούτων, ἀπὸ τῆς γαστρὸς πρώτης ἀρξάμενος, ἵνα τοῦ τε λόγου κατήκοα γένηται τὰ ἄλογα τῆς ψυχῆς εἴδη, καὶ αὐτὸς ἐπὶ σαυτοῦ τὴν εὐσέβειαν καὶ τὴν περὶ γονέας τιμὴν καὶ πάντα, ἃ μικρῷ πρόσθεν παρῄνεσεν ὁ λόγος, ἀπαραγώγως φυλάξαι δυνηθῇς. Δύναμις γὰρ τῆς τῶν προτέρων τηρήσεως ταυτὶ τὰ ἑπόμενα.
pag. 60. Ἐπεὶ παραβαθείη ἂν πάντα ἐκεῖνα, μὴ ἑπομένων τῷ λογισμῷ τῶν παθητικῶν δυνάμεων. Ἢ γὰρ θυμὸς ἐξετάραξε κατὰ γονέων, ἢ ἐπιθυμία πρὸς ἀπείθειαν αὐτῶν ὥπλισε. Καὶ πάλιν, ἢ θυμὸς πρὸς βλασφημίαν ἐπήγειρεν, ἢ ἐπιθυμία χρημάτων πρὸς ἐπιορκίαν. Καὶ ὅλως τὰ κακὰ διὰ ταύτας πράττεται τὰς δυνάμεις, μὴ τῆς λογικῆς ψυχῆς πρὸς τὸ δέον αὐτὰς ἀπευθυνούσης. Ἐντεῦθεν ἀσέβειαι παντοῖαι καὶ πόλεμοι συγγενικοὶ καὶ φίλων προδοσίαι καὶ πάντα τῆς παρανομίας τὰ εἴδη, ὡς καὶ βοᾶν ἀναγκάζεσθαί τινας·

μανθάνω μὲν οἷα μέλλω δρᾶν κακά,
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,

1. ἐκδικοῦν] G. et A: ***nunc cibos nunc potiones sibi vendicans***; vulgo ἐκδιῶκον. M. vitiose ἐνδικοῦν. Cf. supra ad p. 25 (p. 14 ed. Needh.) — 1. ἑταίρας] MGC; ἑτέρας S. — 2. φιλονεικοῦν] G; vulgo φιλονικοῦν. — 4. γένηται] Cod. Med; γίγνεται S; vulgo γίγνηται. Caeterum τὰ ἄλογα εἴδη τῆς ψυχῆς sunt τὸ θυμικὸν et τὸ ἐπιθυμητικόν, quae δυνάμεις ejus vocantur in sequentibus. Nemesius de nat. hom. cap. 15. διαιροῦσιν εἰς δυνάμεις ἢ εἴδη ἢ μέρη τὴν ψυχήν. Jamblich. vit. Pythag. τρία ψυχῶν ἐν ἡμῖν εἴδη. τὸ μὲν ᾧ λογιζόμεθα, τὸ δὲ ᾧ θυμούμεθα, τρίτον δὲ ᾧ ἐπιθυμούμεθα. — 7. ταυτὶ] MGC; ταύτῃ S. — 7. ἑπόμενα ἔπη. παραβαθείη γὰρ ἂν] M; sed potior vulgata; ἔπη παραθείη S. — 8. ἑπομένων] M; ἑπομένω G. — 10. ὥπλισε] MGC; ὅπλισε S. — 11. ἐπήγειρεν] Cod. Med. et S; vulgo ἤγειρεν. — 13. μὴ] MGC; καὶ S. — 13. λογικῆς ψυχῆς] Codd. Gall. S. et Med, quibus congruenter Aurispa vertit ***animi***; reliqui libri habent λογικῆς οὐσίας. At praestat ψυχῆς, quia τὴν λογικὴν ψυχὴν vel τὸ λογικὸν τῆς ψυχῆς εἶδος Hierocles spectat, quae animi pars de Platonicorum sententia duabus inferioribus τῷ θυμικῷ et τῷ ἐπιθυμητικῷ imperat. — 16. ἀναγκάζεσθαί τινας] Codd; Curterius perperam conj. ἀναγκάζεσθαί τινα et inferius ἄλλον δὲ ἢ τὴν αὐτήν, ut haec ad solam Medeam referantur quae Hierocles ad omnes transtulit. — 17. μανθάνω] Euripidis est e Medea versus 1078 καὶ μανθάνω μὲν οἷα τολμήσω κακά. Unde patet, Hieroclem omittere καὶ (quod itidem Plutarchus περὶ δυσωπ. p. 533 facit) et pro τολμήσω legere μέλλω δρᾶν. Atque ita alii quoque legunt, sed inverso ordine δρᾶν μέλλω. Sic enim laudatur versus ab Alcinoo Doctr. Plat.

ἄλλους δὲ ἢ τοὺς αὐτοὺς ἄλλοτε βοᾶν,

μανθάνω μὲν οἷα μέλλω δρᾶν κακά,
ἐπιθυμία δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,

καί,

Εὖ μέν μοι δοκεῖς λέγειν, πέπονθα δὲ τὸ τῶν πολλῶν
πάθος, οὐ πάνυ σοι πείθομαι.

Τὸ γὰρ λογικὸν γένος πρὸς τὴν τῶν καλῶν αἴσθησιν εὐφυῶς διακείμενον, εὐανάμνηστόν ἐστι καὶ εὐάγωγον πρὸς τὴν τοῦ ὀρθοῦ λόγου διδασκαλίαν, ὅταν μὴ ταῖς παθητικαῖς ὁλκαῖς, ὥσπερ τισὶ μολυβδίσιν, ὑποφέρηται πρὸς κακίαν. Δεῖ οὖν καὶ αὐτοὺς ἡμᾶς εἰδέναι τὰ δέοντα, καὶ τὰς ἀλόγους δυνάμεις ἐθίσαι, ὅσον οἷόν τε, καὶ αὐτὰς τῷ ἐν ἡμῖν λόγῳ συνέπεσθαι. Οὕτω δὲ ταχθέντων τῶν παθῶν, ἱκανὸς ὁ λογισμὸς γένοιτο ἂν ἀπερισπάστως φυλάξαι τὰ πρῶτα παραγγέλματα, περὶ ὧν εἴρηται ταῦτα μὲν οὕτως ἴσθι. Περὶ δὲ τῶν ἑξῆς ἐθίζου κρατεῖν εἶπεν, ἐνδεικνύμενος, ὅτι τὸ μὲν λογικὸν διδασκαλίᾳ καὶ ἐπιστήμῃ τάττεται, τὸ δὲ ἄλογον ἐθισμοῖς καὶ πλάσεσι τρόπον pag. 62. τινὰ σωματικαῖς· οὕτω δὲ καὶ τῶν ζώων τὰ ἄλογα μόνῳ ἔθει ἄγεται ὑπὸ τῶν ἀνθρώπων. Ἐθισθεῖσα οὖν γαστὴρ ζητεῖν τὰ μέτρια, τάς τε ἄλλας ἐπιθυμίας τοῦ σώματος κοσμιωτέρας παρ-

c. 24, Luciano pro Merc. Conduct. Arriano Diss. 1, 28. Simplicio in Epictet. p. 40, 68, 74 ed. Salmas. καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά. Caeterum apud Hieroclem Codd. GMC habent μέλλω δρᾶν, sed S. δρᾶν μέλλω et hoc loco et paulo inferius. In margine Vindobonensis legitur ὠρ ἐκ μηδείας εὐριπίδου. — 5. εὖ μέν μοι] S. in marg. Πλάτων. Locus est in Gorg. p. 513. C. — 6. οὐ πάνυ σοι πείθομαι] Cod. SM; reliqui οὐ πάνυ πείθομαι. — 8. ἐστι] Codd. G. et M; vulgo om. — 9. εὐάγωγον] Sic emendavit Ashtonus scripturam Cod. Medicei qui praebet ἐπαγωγόν; prius legebatur εὐέγρετον. Rectius εὐέγερτον Mh et Vat; membranae Gallicae vitiose εὐέργετον, quod fortasse prius in Cod. Vind. etiam legebatur. Nam εὐέγερτον ibi ex emendatione est. Hierocles de providentia (ap. Phot. Cod. 251) τὴν ὕλην πρὸς πάντα εὐάγωγον. Epictet. ap. Arrian. Diss. 4, 9 οὐδέν ἐστιν εὐαγωγότερον ἀνθρωπίνης ψυχῆς. — 13. γένοιτο] G; γένοι M. — 14. εἴρηται] G; εἴπομεν M. — 18. σωματικαῖς] Corr. N. ex Aurispae interpretatione: ***per corporis quodammodo fictiones.*** Interpolator Cod. G. et Curterius in margine σωματικοῖς. Vulgo σωματικῶς. — 20. μέτρια] Codd. Gall. S. et M. pro vulg. μέτρα. Articulum τὰ adjecit Ashtonus, quemadmodum infra scriptum invenitur. In eandem sententiam A. vertit: moderata appetere. — 20. κοσμιωτέρας] G; κοσμειοτέρας M.

έχεται καὶ τὸν θυμὸν ἐμμελέστερον, ἵν' ἐφ' ἡσυχίας τὰ περὶ τῶν δεόντων βουλευώμεθα, μὴ σφόδρα ὑπὸ τῶν συνεχόντων παθῶν ἐνοχλούμενοι, ὅθεν καὶ τὸ ἑαυτοὺς γνῶναι ὅ ἐσμεν τῇ ἀληθείᾳ καὶ τὸ αἰδεῖσθαι οὓς ἔγνωμεν διδασκόμεθα. Ἐκ δὲ τῆς γνώσεως ταύτης καὶ τῆς συνούσης αὐτῇ αἰδοῦς ἡ τῶν αἰσχρῶν φυγὴ παραγίνεται. Τὰ γὰρ κακὰ αἰσχρὰ λέγεται, ὡς ἀπρεπῆ καὶ ἀνάξια δρᾶσθαι ὑπὸ λογικῆς οὐσίας· περὶ ὧν τὰ ἑξῆς ἐπιλέγει.

IX. 11—12.

Πρήξῃς δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.

Ἡ γὰρ καθ' ἑαυτοὺς πράττοντές τι αἰσχρὸν ἀδιάφορον αὐτὸ ἡγούμεθα, ὃ μετ' ἄλλου οὐκ ἂν ἐπράξαμέν ποτε, τὸν κοινωνὸν τῆς πράξεως αἰσχυνόμενοι· ἢ ἀνάπαλιν, συμπεριφερόμενοί τισι πράττομεν ἃ μή ποτ' ἂν καθ' ἑαυτοὺς ἐδράσαμεν, τῇ κοινωνίᾳ τῶν συμπραττόντων εἰς παῤῥησίαν τοῦ ἔργου προκαλούμενοι. Διὰ τοῦτο προανεῖλεν ἑκατέραν ὁδὸν τῆς εἰς τὸ αἰσχρὸν καὶ τὸ κακὸν παρεκβάσεως. Εἰ γὰρ τὸ αἰσχρὸν τῇ ἀληθείᾳ φευκτόν, οὐκ ἄν ποτε διὰ περίστασιν αἱρετὸν γένοιτο. Διὸ συνάψας εἶπε, μήτε μετ' ἄλλου, μήτ' ἰδίῃ· ἵνα μήτε μόνωσις ἐπεγείρῃ σε πρὸς τὸ μὴ πρέπον, μήτε κοινωνία εὐαπολό-
pag. 64. γητόν σοι ποιήσῃ τὴν ἁμαρτίαν. Εἶτ' ἐπήγαγε τὴν αἰτίαν, τὴν μόνην τῶν κακῶν ἀποτρέπουσαν, πάντων δὲ μάλιστ' αἰσχύ-

2. βουλευώμεθα] GC; βουλευόμεθα M; βουλευοίμεθα S. — 2. συνεχόντων M; συνοικούντων GC. — 3. ἐνοχλούμενοι] Cod. Med. et S; vulgo ἐλαυνόμενοι. — 4. δὲ] MGC; om. S. — 5. συνούσης] M; συνιούσης G; συνειςιούσης vulgo; συνειούσης S. — 6. αἰσχρῶν] MGC; ἐχθρῶν S. — 6. λέγεται] GMS; λέγονται vulgo. — 8. ἐπιλέγει] Cod. Med; reliqui ἔπη λέγει. — 10. πρήξῃς δ' αἰσχρόν Cf. adn. ad carm; πρήξῃις δ' αἰσχρῶν S; πρήξεις δ' αἰσχρὸν vulgo. — 11. μάλιστ'] vulgo; μᾶλλον G. M. — 11. αἰσχύνεο] GC; αἰσχύναιο M. — 14. αἰσχυνόμενοι] Codd; αἰσχυνούμενοι Curter. male. — 16. συμπρατт.] GC; πραττόντων MS. — 16. προκαλ.] GC; προςκ. MS. — 17. προανεῖλεν] Cod. Med; προανελειν ἀνεῖλεν S; vulgo προκαθεῖλεν. Hierocles alibi ἀσωτίας προαναιρεῖ τὰς ἀφορμάς. Item τὸ ἄθεον προαναιρεῖ τῆς ἀρετῆς τὴν οὐσίαν. — 18. παρεκβάσεως] Ipl. GM; vulgo προεκβάσεως. — 19. οὐκ ἄν ποτε] G. M. et A: ***nunquam certe***; vulgo οὐχ ἅπαντες. — 23. μάλιστ'] GC; μᾶλλον M. — 24. αἰσχύνεο] GC; αἰσχύναιο M.

νεο σαυτόν. Ἐὰν γὰρ ἐθισθῇς σαυτόν αἰσχύνεσθαι, ἕξεις πανταχοῦ, ὃν αἰδεσθήσῃ, οἰκειότατον φύλακα καὶ ἀναπόδραστον. Ἐπεὶ πολλοὶ μονωθέντες φίλων, ἢ οἰκετῶν, ἔδρασαν ταῦτα, ἃ πρότερον δι' ἐκείνους ποιῆσαι ᾐσχύνοντο. Ἆρ' οὖν οὐδένα εἶχον συνόντα; ἐῶ Θεόν· (ποῤῥωτέρω γὰρ οὗτος τῆς τῶν κακῶν συνειδήσεως·) ἀλλὰ ἑαυτοὺς οὐκ εἶχον καὶ τὸ τοῦ συνειδότος κριτήριον; Εἶχον μὲν οὖν· ἀλλ' ἠγνόουν ὅτι εἶχον, τοῖς πάθεσι κατατεινόμενοι. Οἱ δὲ τοιοῦτοι τὸ ἐν αὐτοῖς λογικὸν ἄτιμον καὶ ἀνδραπόδου φαυλότερον ἔθεντο. Οἰκειότατον οὖν ἐπίτροπον ἔχε σαυτόν· καὶ πρὸς τοῦτον ἐπιστρέφων κατάρχου τῆς ἀποτροπῆς τῶν κακῶν. Ἡ γὰρ ἑαυτοῦ αἰδὼς ἑκάστῳ φυγὴ τῶν αἰσχρῶν καὶ ἀναξίων τῆς λογικῆς οὐσίας ἐξ ἀνάγκης γίνεται. Ὁ δὲ οὕτως ἀπαξιῶν τὰ κακὰ πῶς πρὸς ἀρετὴν οἰκειοῦται, ἐπάγει.

X. 13—16.

Εἶτα δικαιοσύνην ἄσκει ἔργῳ τε λόγῳ τε·
μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε·
ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι.
Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φίλει, ἄλλοτ' ὀλέσσαι.

Ὁ ἑαυτὸν αἰσχυνόμενος φύλαξ ἑαυτοῦ γίνεται μηδαμοῦ κακίᾳ περιπεσεῖν. Κακίας δὲ εἴδη πλείονα. Κατὰ μὲν τὸ λογικόν, ἀφροσύνη· κατὰ δὲ τὸ θυμικόν, δειλία· κατὰ δὲ τὸ ἐπιθυμητικόν, φιληδονία καὶ φιλοχρηματία· κατὰ δὲ πάσας ὁμοῦ τὰς

1. ἐθισθῇς] GC; ἐθίσῃς M. — 3. ἃ π. δ. ἐ.] MC; δι' ἐκείνους ἃ πρότ. G. — 4. δι' ἐκ. π.] MC; π. δ. ἐ. S. — 4. ᾐσχύνοντο] Codd. G; vulgo ᾐσχύναντο. — 5. σ. ἐ. Θ.] om. MS. — 5. γὰρ οὗτος] om. M. erasum in S. — 6. ἑαυτοὺς οὐκ εἶχον καὶ τὸ τοῦ συνειδότος κρ.] i. e. τὸν ἔνοικον θεόν, quo nomine e Platonis dialogo qui Philebus inscribitur petito postea appellat, quem et δαίμονα σύνοικον Plato in Timaeo vocat. Similiter Antoninus haud raro memorat τὸν ἐν ἡμῖν θεόν. Sexcentorum vero instar esse possit Epictetus apud Arrian. Diss. 1, 14 ὅταν κλείσητε τὰς θύρας, — μέμνησθε μηδέποτε λέγειν, ὅτι μόνοι ἐστέ, οὐδέ ἐστε, ἀλλ' ὁ θεὸς ἔνδον ἐστέ, καὶ ὁ ὑμέτερος δαίμων. — 8. τὸ ἐν αὐτοῖς λογικὸν] G. M. et A: ***rationem quae in ipsis est***; vulgo τὸ ἑαυτοῖς λ. — 11. ἑκάστῳ] Corr. N. ex A: ***nam sui pudor ex necessitate facit, ut turpia et indigna*** etc. Vulgo ἑκάστου. — 21. δὲ] MC; μὲν G. — 21. πλείονα] GC; κακὰ M; κακαπλείονα S. — 22. δειλία] G; ἡ δειλία Curt. — 22. δὲ] om M. — 23. κατὰ δὲ πάσας — ἀδικία] Ita Sallust. c. 10 κακία, λόγου μὲν

pag. 66. δυνάμεις, ἀδικία. Τετράδος οὖν ἀρετῶν ἐδέησεν ἡμῖν πρὸς τὴν τῶν τοιούτων κακῶν ἀποτροπήν· φρονήσεως μέν, περὶ τὸ λογιζόμενον· ἀνδρείας δέ, περὶ τὸ θυμούμενον· σωφροσύνης δέ, περὶ τὸ ἐπιθυμητικόν· δικαιοσύνης δέ, περὶ πάσας ὁμοῦ τὰς δυνάμεις, τελειοτάτης οὔσης πασῶν ἀρετῶν καὶ περιεκτικῆς τῶν ἄλλων, ὡς οἰκείων μερῶν. Διὸ καὶ ταύτης πρώτης ἐμνημόνευσεν ὁ λόγος· εἶτα φρονήσεως, καὶ ἐφεξῆς τῶν ἀπὸ τῆς φρονήσεως ἀπογεννωμένων ἀρίστων ἐπιτηδευμάτων, καὶ εἰς τὴν τῆς δικαιοσύνης ὁλότητα συντελούντων. Ὁ γὰρ ὀρθῷ λογισμῷ χρώμενος, ἐν μὲν τοῖς δεινοῖς τὴν ἀνδρείαν σύμμαχον κτᾶται· ἐν

ἄνοια, θυμοῦ δὲ δειλία, ἐπιθυμίας δὲ ἀκολασία, ὅλης δὲ τῆς ψυχῆς ἀδικία. Apparet hic Hieroclem κακίας τρία εἴδη pro triplici ψυχῆς apud Platonicos partitione statuere. Etenim, ut ait Epiphanius in Expos. Fid. Cathol., Πλάτων λέγει εἶναι τρία μέρη τῆς ψυχῆς, λογικόν, θυμικόν, ἐπιθυμητικόν. Quod cum aliis Platonis confirmatur locis, tum illo qui est in Timaeo pag. 89 εἴπομεν πολλάκις, ὅτι τρία ψυχῆς τριχῆ ἐν ἡμῖν εἴδη κατῴκισται. His autem tribus κακίας εἴδεσιν adjicit τὴν ἀδικίαν ut omnium communem, atque etiam primarias quatuor virtutes his oppositas in sequentibus ponit τετράδος οὖν ἀρετῶν ἐδέησεν ἡμῖν. Eundem in modum Sallustius cap. cit. τριμερῆ ποιεῖ τὴν ψυχήν, ἐκ λόγου, καὶ θυμοῦ καὶ ἐπιθυμίας· ἀρετὴ δέ, λόγου μὲν φρόνησις, θυμοῦ δὲ ἀνδρεία, ἐπιθυμίας δὲ σωφροσύνη, ὅλης δὲ τῆς ψυχῆς δικαιοσύνη. — 3. ἀνδρείας] Curt. MS; ἀνδρίας G. — 3. θυμούμενον] M; θυμοούμενον male Curt. — 4. πάσας ὁμοῦ τὰς δυνάμεις] G; πάσας τὰς δυνάμεις M; πάσας ὁμοῦ δυνάμ. Curt. — 5. τελειοτάτης οὔσης πασῶν ἀρετῶν καὶ περιεκτικῆς τῶν ἄλλων] Cod. Med. Pro πασῶν ἀρετῶν καὶ Cod. Vindobonensis exhibet καὶ διαπασῶν ἀρετῆς. Vaticanus autem et Salviatorum liber καὶ διὰ πασῶν ἀρετῆς. Curterius e codd. Gall. male edidit καὶ διὰ πασῶν ἀρετῶν περιεκτικῆς τῶν ἄλλων. Needhamius καὶ διὰ in μὰ Δία mutandum arbitratus addendumque καὶ μέτρων e Salvini collatione exêmplaris Medicei (quae verba in illo codice non repperit Gudius) textum sic corrupit: τελειοτάτης οὔσης, μὰ Δία, πασῶν ἀρετῶν καὶ μέτρων περιεκτικῆς τῶν ἄλλων. Similia praedicat de justitia Simplicius in Epictet. c. 37 ed. Salmas. δικαιοσύνη, ἡ μὲν ἀντιδιῃρημένη πρὸς τὰς ἄλλας ἀρετάς, ἡ δὲ πάσας ἐν ἑαυτῇ συλλαβοῦσα. Item Aristoteles Eth. Nic. V, 1 καὶ διὰ τοῦτο πολλάκις κρατίστη τῶν ἀρετῶν εἶναι δοκεῖ ἡ δικαιοσύνη, καὶ οὔθ' ἕσπερος οὔθ' ἑῷος οὕτω θαυμαστός· καὶ παροιμιαζόμενοί φαμεν,

ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στι.

— 7. τῆς φρονήσεως] G; τῆς om. M. — 8. ἀπογεννωμένων] Cod. Med. S et Mh; quod verbum satis tuetur aliorum Hieroclis, Platonis, Procli locorum similitudo; exemplum Vaticanum ἀπογενομένων, libri Gall. ἐπιγινομένων. Male Curterius ἐπειγομένων. — 10. ἀνδρείαν] S; ἀνδρίαν vulgo hic et in seq. enuntiatione.

δὲ τοῖς ἡδέσι τὴν σωφροσύνην, ἐν πᾶσι δὲ ὁμοῦ τὴν δικαιοσύνην. Καὶ οὕτως ἀρχὴ μὲν τῶν ἀρετῶν ἡ φρόνησις εὑρίσκεται· πέρας δέ, ἡ δικαιοσύνη· διὰ μέσου δέ, ἡ ἀνδρεία καὶ ἡ σωφροσύνη. Ἡ γὰρ πάντα ἐκλογιζομένη δύναμις, καὶ τὸ ἑκάστου πρόσφορον ταῖς πράξεσιν ἀεὶ ζητοῦσα, ἵν' εὐλόγως ἕκαστα διατεθείη, ἡ τῆς φρονήσεώς ἐστιν ἕξις· ἀρίστη διάθεσις οὖσα τῆς λογικῆς ἡμῶν οὐσίας, ἀφ' ἧς καὶ ταῖς ἄλλαις δυνάμεσιν ἡ εὐκοσμία παραγίγνεται, ὡς ἀνδρίζεσθαι μὲν τὸν θυμόν, σωφρονεῖν δὲ τὴν ἐπιθυμίαν, καὶ τὴν δικαιοσύνην τῆς ἀναλογίας ἔχεσθαι, καὶ ταύτῃ κοσμεῖσθαι τὸν θνητὸν ἡμῶν ἄνθρωπον ἐκ περιουσίας τῆς ἐνούσης ἀρετῆς τῷ ἀθανάτῳ ἀνθρώπῳ. Προηγουμένως γὰρ αἱ ἀρεταὶ ἀπὸ νοῦ εἰς ψυχὴν λογικὴν ἐλλάμπονται, καὶ ταύτης εἰσὶν οἰκεῖον εἶδος, καὶ τελειότης, καὶ εὐζωΐα. Εἰς δὲ τὴν ἀλογίαν καὶ τὸ θνητὸν σῶμα μετουσία τις τῶν ἀρετῶν ἔρχεται, ὅπως ἂν καὶ τὰ συμπεφυκότα τῇ λογικῇ οὐσίᾳ εὐσχημοσύνης καὶ μετριότητος πληρωθῇ. Τὸ δὲ τῶν θείων ἀγαθῶν ἡγεμονοῦν ἡ φρόνησις αὕτη, καλῶς ἐνιδρυθεῖσα τῇ λογικῇ ψυχῇ, δίδωσι pag. 68. περὶ πάντων εὖ βουλεύεσθαι, καὶ τὸν μὲν θάνατον ἀνδρείως φέρειν, τὴν δὲ ἀποβολὴν τῶν χρημάτων πρᾴως καὶ ἐμμελῶς. Πάσας γὰρ τὰς μεταβολὰς τῆς θνητῆς φύσεως, καὶ τῆς ἑπομένης αὐτῇ τύχης, σωφρόνως καὶ ἀνεκπλήκτως ὑπομένειν ἡ φρόνησις δύναται. Τὴν γὰρ φύσιν ἐκλελόγισται τῶν πραγμάτων, καὶ οἶδεν, ὡς ἀνάγκη τὸ συμπλασθὲν ἐκ γῆς καὶ ὕδατος διαλυ-

2. ἀρχὴ] MGC; ἀρχὴν S. — 3. διὰ μέσου] G; M ἐν μέσῳ ut A: *in medio.* Vulgo διὰ μέσον. — 3. ἡ σωφρ.] GS; vulgo om. art. — 4. καὶ τὸ ἑκάστου πρόςφορον ταῖς πρ.] M. et A: *et quod opus uniuscujusque rei aptum sit considerat.* πρόςφορον ἐν om. S. Vulgo καὶ τὸ ἓν ἑκάστου ταῖς πράξεσιν. N. et Asht.: καὶ τὸ ἑκάστου πρόςφορον ἐν ταῖς πράξεσιν e Salvini collatione Codicis Medicei. — 7. ἀφ' ἧς] MGC; ἐφ' ἧς S. — 8. παραγίγνεται] M. G; παραγίνεται S; παρέπεται Curt. — 9. ἀναλογίας ἔχεσθαι] Ita recte cod. Med; quam scripturum illustrant haec Aristotelis verba Ethic. Nic. V, 3 μέσον τὸ δίκαιον, τοῦτ' ἔστι τοῦ παρὰ τὸ ἀνάλογον· τὸ γὰρ ἀνάλογον μέσον· τὸ δὲ δίκαιον ἀνάλογον. Vulgo male hic legunt τῆς ἀλογίας ἀνέχεσθαι, quod apud Curterium et in Cod. Vindobonensi reperitur. — 11. τῆς ἐνούσης ἀρετῆς] G. et A; vulgo δὲ ἐνούσης. — 15. εὐσχημοσύνης καὶ μετριότητος] Codd. G et Curt.; εὐσχημόνως καὶ μετριώτατα M. — 16. δὲ] MGC; δὴ S. — 17. ἐνιδρυθεῖσα] G; vulgo ἐνυδρυσθεῖσα. — 21. αὐτῇ] Cod. Med. et S; caeteri ταύτῃ. — 21. ὑπομένειν ἡ φρ.] S; ἡ φρόνησις ὑπομένειν vulg. — 23. διαλυθῆναι πάλιν εἰς αὐτὰ] S; caeteri

θῆναι πάλιν εἰς αὐτά· καὶ πρὸς τὴν ἀνάγκην οὐκ ἀγριαίνεται· οὐδὲ ἀπρονόητα εἶναι τίθεται τὰ καθ' ἡμᾶς, ἐὰν τὸ θνητὸν ἀποθνήσκῃ. Γινώσκει γὰρ ὡς θανέειν πέπρωται ἅπασι, καί τις ὡρισμένος ἐστὶ χρόνος πρὸς διαμονὴν τοῖς θνητοῖς ἡμῶν σώμασιν, οὗ ἐνστάντος, οὐ δεῖ χαλεπαίνειν, ἀλλ' ὡς νόμῳ θείῳ ἑκόντας ἕπεσθαι. Τοῦτο γὰρ νῦν ἡ πεπρωμένη δηλοῖ, ὅροις τισὶν ἀναγκαίοις πεπερατῶσθαι τὴν θνητὴν ἡμῶν ζωήν· φρονήσεως δὲ ἴδιον εἶναι τοῖς τῶν κρειττόνων ἕπεσθαι δόγμασιν, οὐ τὸ μὴ ἀποθανεῖν, ἀλλὰ τὸ εὖ ἀποθανεῖν, ζητούσης. Ὁμοίως δὲ καὶ τὴν τῶν χρημάτων φύσιν οὐκ ἀγνοεῖ, ὅτι νῦν μὲν ἦλθε, νῦν δὲ ἀπῆλθε, κατά τινας ὡρισμένας αἰτίας, αἷς ἀντιτείνειν ἀβέλτερον. Τῶν γὰρ οὐκ ἐφ' ἡμῖν τῆς κτήσεως ἡμεῖς οὐ κύριοι. Οὐκ ἐφ' ἡμῖν δὲ τὸ σῶμα καὶ τὰ χρήματα· καὶ ἁπλῶς, ὅσα τῆς λογικῆς ἡμῶν οὐσίας ἔξω κεῖται, οὔτε τὴν ἀρχὴν κτήσασθαι ἐφ' ἡμῖν, οὔτε φυλάξαι ἐφ' ὅσον βουλόμεθα· τὸ δέ, προςγινομένων καὶ ἀπογινομένων αὐτῶν, μετὰ ἀρετῆς ἀποδέχεσθαι αὐτά, καὶ ἀποτίθεσθαι, τοῦτο ἦν ἐφ' ἡμῖν, καὶ τῆς λογικῆς οὐσίας ἴδιον, ἂν μὴ ἀλογίστως ἔχειν περὶ τῶν συμβαινόντων ἑαυτὴν ἐθίζῃ, ἀλλὰ τοῖς θείοις ἕπηται μέτροις, οἷς πάντα
pag. 70. τὰ περὶ ἡμᾶς ὥρισται. Ἐνταῦθα οὖν τὸ ἐφ' ἡμῖν δύναμιν ἔχει μεγίστην, ἐν τῷ εὖ κρῖναι περὶ τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μὴ τῇ τούτων προςπαθείᾳ τὴν τοῦ αὐτεξουσίου ἀρετὴν προςαπολέσαι. Τί οὖν ἡ ἔμφρων κρίσις λέγει; Παρόντι μὲν τῷ σώματι καὶ τῷ πλούτῳ καλῶς χρῆσθαι, καὶ πρὸς ὑπηρεσίαν ἀρετῆς· ἀπιόντων

εἰς αὐτὰ πάλιν διαλυθῆναι. — 4. ἡμῶν σώμασιν] S; σώμασιν ἡμῶν vulgo. — 13. τὰ χρήματα] Lege cum Ashtono: τὸ σῶμα καὶ τὰ χρήματα, καὶ ἁπλῶς. Nam καὶ, quod in Cod. Vindobonensi, item apud Curterium et Needhamium ante τὰ desideratur, operarum errore in Curteriana editione omissum est, quum in interpretatione expressum sit. — 14. ἡμῶν] GC; om. M. — 15. ἐφ' ἡμῖν, οὔτε] GC; ἐφ' ἡμῖν ὄν, οὔτε M. — 16. προςγινομένων καὶ ἀπογινομένων] M; προςγενομένων καὶ ἀπογενομένων G. A: ***in rebus vero quarum natura est modo haberi, nonnunquam amitti.*** Vulgo προςγινόμενον καὶ ἀπογινόμενον. — 16. ἀποδέχεσθαι] GC; ὑποδέχεσθαι M. — 17. αὐτὰ] MG; vulgo om. — 19. ἑαυτὴν] Curt; ἑαυτῇ G; αὐτὴν M. — 19. ἕπηται] Cod. Med. et S; vulgo ἕπεσθαι. — 21. κρῖναι] RG; M κρίνειν. Vulgo χρῆναι. — 22. προςαπολέσαι] Cod. Med; προςαπολέσθαι SCN. — 23. ἔμφρων] Cod. Med. et S. recte; est enim ἔμφρων κρίσις id quod hic requiritur ***prudens judicium.*** Antea inepte legebatur εὔφρων κρίσις. Hesych. εὔφρων, ὁ ἡδύς· ἔμφρων δὲ ὁ φρόνιμος.

δέ, εἰδέναι τὸ δέον, καὶ πρὸς ταῖς ἄλλαις ἀρεταῖς ἀλυπίαν κερδαίνειν. Οὕτω γὰρ καὶ ἡ πρὸς θεοὺς εὐσέβεια τηρηθήσεται, καὶ τὰ τῆς δικαιοσύνης μέτρα, εἰ τὸ λογικὸν ἐκμάθοι ταῖς περιστάσεσιν εὖ καὶ καλῶς χρῆσθαι, καὶ τοὺς τῆς φρονήσεως ὅρους ἀντιτιθέναι τοῖς δοκοῦσιν ὡς ἔτυχε καὶ ἀτάκτως συμβαίνειν. Ἄλλως γὰρ οὐκ ἂν ἀρετὴ φυλαχθείη, ἂν μὴ ὀρθοδοξία τις ἐνυπάρχῃ τῇ λογικῇ οὐσίᾳ. Οὔτε γὰρ τοῖς κρείττοσιν ἕπεσθαι δύναται, ὡς κρείττοσιν, ἀλλὰ ὡς ὑπὸ τυράννων βιαζόμενος διατεθήσεται· οὔτε τῶν συζώντων λόγον τινὰ ποιήσεται, οὔτε σώματος, ἢ χρημάτων τὴν ἀρίστην οἰκονομίαν ἐξευρήσει, ἀλογίστως ἔχειν ἑαυτὸν ἐθίσας. Ὅρα γὰρ ὅτι οἱ ἐξ ἅπαντος φεύγοντες τὸν θάνατον, ἢ τὰ χρήματα τηρεῖν ἐπιθυμοῦντες, πολλαῖς ἐξ ἀνάγκης ἀδικίαις χρήσονται καὶ βλασφημίαις, ἀρώμενοι μὲν κατὰ θεῶν ἀνόσια, καὶ μὴ προνοεῖσθαι φάσκοντες, ἐπειδὰν περιπέσωσιν οἷς ἀνοήτως ἔφευγον, ἀφειδῶς δὲ τοὺς ἄλλους ἀδικοῦντες, καὶ τὰ πάντων ἀθροίζειν πειρώμενοι πρὸς τὸ ἑαυτοῖς λυσιτελές, ὡς οἴονται. Καὶ οὕτως ἐκφανὴς ἡ τῆς ψευδοδοξίας ἐν αὐτοῖς γίνεται βλάβη, ὡς τὰ μέγιστα τῶν κακῶν ἐκβλαστάνειν· ἀδικίαν μὲν πρὸς τοὺς ὁμοίους, ἀνοσιότητα δὲ πρὸς τοὺς

2. οὕτω γὰρ καὶ ἡ] MG; vulgo οὕτω γάρ ἐστι καὶ ἡ. Curterius in margine οὕτω γὰρ ἂν καὶ ἡ. Davisius inepte conj. οὕτω γὰρ ἔστω κ. τ. λ. — 2. θεοὺς] GC; θεὸν M. — 3. ἐκμάθοι] MGC; ἐκμάθ S. — 5. συμβαίνειν] MC; συμβαίνουσιν G. — 7. ἐνυπάρχῃ] MG; ἐν ὑπάρχῃ S. — 8. δύναται] Ita codd; Curterius conjecit δυνήσεται, qua mutatione non est opus. Needhamius autem temere edidit δύνηται. — 9. συζώντων] G. et Mds; vulgo ζώντων. — 11. ὅτι οἱ ἐξ ἅπαντος] Cod. Med. S. Ipl. G. et A; in edd. prioribus deest ὅτι. Quod Needhamius notat, ***male prius expressum*** ἐξάπαντες. id ad Curterianam editionem (Paris. 1583) refertur, in qua typothetae indiligentia ita exaratum legitur, quamquam in Erratis correctum est ἐξάπαντος. Idem Curter. suspicatus est ὅρα γὰρ ὡς ἐξαπ. — 14. θεῶν] G. et A: ***impia contra deos profitentur;*** vulgo θεοῦ. — 14. καὶ μὴ προνοεῖσθαι φάσκοντες — πειρώμενοι] Sic N. dedit ex A: quos nihil praevidere dicunt — omnium rerum congregationi studentes; καὶ προνοεῖσθαι μὴ φάσκοντες — πειρῶνται SC. — 16. τὰ πάντων] Reliqui vulgatam lectionem, cujus loco exemplar Mediceum exhibet τὰ πάντα. quocum consentit Aurispa vertens: ***omnium rerum.*** Sed utraque scriptura aeque bona est. — 16. ἑαυτοῖς] GC; αὐτοῖς MS. — 17. ὡς οἴονται] Cod. Med. et S. quod si referas ad τὸ λυσιτελές, commodum habet sensum ***in suum, ut opinantur, usum.*** Neque tamen spernenda vulgata ὡς οἷόν τε, ***quoad ejus fieri potest.***

κρείττονας. Ὧν καθαρεύσειεν ἂν ὁ τοῖς προκειμένοις στίχοις πειθόμενος, ὁ τῇ εὐλογίστῳ κρίσει τὸν θάνατον γενναίως ὑπομέ- pag. 72. νων, καὶ τὴν τῶν χρημάτων ἀποβολὴν οὐκ ἀφόρητον ἡγούμενος. Ἐξ ὧν καὶ πρὸς δικαιοσύνην ἀφορμὰς λαμβάνει, ὡς δέοι τῶν ἀλλοτρίων ἀπέχεσθαι, καὶ βλάπτειν μηδένα, μηδὲ ὠφέλειαν ἑαυτοῦ τὰς τῶν ἄλλων ποιεῖσθαι συμφοράς. Τούτων δὲ οὐδὲν τηρῆσαι δυνατὸς ἔσται ὁ θνητὴν ὑπολαμβάνων εἶναι τὴν ἑαυτοῦ ψυχήν, καὶ ἀλογίστως ἔχειν ἑαυτὸν ἐθίσας, τί μέν ἐστι τὸ ἀποθνῆσκον ἡμῶν μηδαμῶς λογιζόμενος, καὶ τὸ τῶν χρημάτων δεόμενον, τί δὲ τὸ ἀσκοῦν τὴν ἀρετήν, καὶ τὸ ἐκ ταύτης ὠφελούμενον. Μόνη γὰρ ἡ τούτων διάκρισις προθυμίαν εἰς ἀρετῆς ἄσκησιν ἂν παράσχοι, καὶ πρὸς τὴν τῶν καλῶν κτῆσιν ἐπεγείρειεν ἡ ἐκ τοῦ γνῶθι σεαυτὸν καὶ αἰσχύνεο σαυτὸν ἔνθεος ὁρμή. Πρὸς γὰρ τὴν ἡμετέραν ἀξίαν καὶ τὰ τῶν ἄλλων καθήκοντα παραμετρεῖσθαι δεῖ ἐν ἔργοις τε καὶ λόγοις. Ἡ δὲ τῶν καθηκόντων τήρησις ἀπαράβατος δικαιοσύνη ἂν εἴη· διὸ καὶ προτέτακται τῶν ἄλλων ἀρετῶν, ἵνα τῶν καθηκόντων γένηται μέτρον. Δικαιοσύνην, γάρ φησιν, ἄσκει ἔργῳ τε λόγῳ τε. Οὐκ οὖν οὐδὲν βλάσφημον ἐρεῖς ἐν ἀπωλείαις χρημάτων, ἢ νόσων ἀλγηδόσιν, ἵνα μὴ ἀδικῇς ἐν λόγῳ· ἀλλ' οὐδὲ τὰ τῶν πλησίον ἁρπάσεις, οὐδὲ μηχανήσῃ δυστυχίας ἀνθρώποις, ἵνα μὴ ἀδικῇς ἐν ἔργῳ. Δικαιοσύνης γὰρ τὴν ψυχὴν φρουρούσης, τὰ προσήκοντα ἂν πράττοιμεν καὶ περὶ ἀνθρώπους, καὶ περὶ ἡμᾶς αὐτούς. Τῆς

1. καθαρεύσειεν] M. G; vulgo καθαρεύοιεν. — 2. γενναίως] MGC; γενέως S. — 6. ἑαυτοῦ] GC; αὐτοῦ M. — 7. ὁ θνητὴν ὑπολαμβάνων εἶναι τὴν ἑαυτοῦ ψυχὴν] Animi immortalitatem, quam virtutum omnium fundamentum esse vult Hierocles, partim eam intelligit quae post corporis dissolutionem futura est, partim eam vitam quam transegimus antequam in hunc mundum profecti et corporis hujus vinculis inclusi essemus. Ambabus autem conjunctis animi aeternitatem in sequentibus efficit. — 9. μηδαμῶς λογιζόμενος] M. Similiter A: ***sola enim cognitio — quid sit in nobis mortale —***. Vulgo haec verba desunt, quae et in Vindobonensi libro desiderantur. — 12. ἐπεγείρειεν ἡ] Corr. B. e G. ubi legitur ἐπεγερεῖτ' ἐν ῇ, in margine autem ἐπεγείρει ἡ. — 13. σεαυτὸν] MC; σαυτὸν G. — 13. αἰσχύνεο] GC; αἰσχύναιο M. — 15. δεῖ] GC; πέφυκε M. — 16. ἀπαράβατος] G; om. M. — 16. προτέτακται] G; προτετίμηται M. — 17. γένηται] MGC; γίνεται S. — 20. ἁρπάσεις] Corr. N. ex A: ***surripies***. Vulgo ἁρπάσῃς. — 21. ἐν] G; om. MS. — 22. γὰρ] GC; τὴν M; γὰρ τὴν S.

δὲ δικαιοσύνης τὸ ἄριστον μέτρον ἐστὶν ἡ φρόνησις· ὅθεν τῷ, δικαιοσύνην ἄσκει, ἐπήγαγε, μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε· ὡς μὴ δυναμένης ὑποστῆναι δικαιοσύνης ἄνευ φρονήσεως. Τοῦτο γάρ ἐστιν ὄντως δίκαιον, ὃ ἡ τελεία φρόνησις pag. 74. ὁρίζει. Αὕτη δ' ἂν εἴη ἡ περὶ μηδὲν ἀλογίστως ἔχουσα, ἀλλ' ἐπεσκεμμένως μὲν περὶ τοῦ σώματος ἔχουσα, ἐπεσκεμμένως δὲ καὶ περὶ τῶν εἰς τὴν τούτου χρείαν συντελούντων· πάντα δὲ ἀτιμότερα ἀρετῆς τιθεμένη, καὶ μεγίστην ὠφέλειαν τὴν ἀρίστην διάθεσιν τῆς λογικῆς ψυχῆς, ἀφ' ἧς καὶ τὰ ἄλλα κοσμεῖται κατὰ δύναμιν. Τοιοῦτος μὲν τῶν προκειμένων ἐπῶν ὁ σκοπός, τὴν τετράδα τῶν πρακτικῶν ἀρετῶν ἀναφῆναι καὶ παραδοῦναι τοῖς ἀκροαταῖς, μετὰ τῆς ἀγρύπνου τηρήσεως, καὶ παραφυλακῆς τῆς ἐν λόγοις καὶ ἔργοις πρεπούσης. Τὸ μὲν γὰρ φρόνησιν, τὸ δὲ ἀνδρείαν, τὸ δὲ σωφροσύνην, παραδίδωσι· τὸ δὲ προηγούμενον αὐτῶν τὴν ἐπὶ πάσαις ταῖς ἄλλαις ἀρεταῖς κοινῶς ἐπιθεωρουμένην δικαιοσύνην ἀσκεῖσθαι παραινεῖ· τὸ δέ, χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φίλει, ἄλλοτ' ὀλέσσαι, παρίστησιν, ὅτι τῇ σωφρονικῇ διαθέσει καὶ ἡ ἐλευθεριότης παρέπεται, ἀρετὴ οὖσα περὶ χρήματων πρόσοδον καὶ δαπάνην. Τὸ γὰρ μόνον τότε αὐτὰ κτᾶσθαι, καὶ ἀποκτᾶσθαι, ὅτε δίδωσιν ὁ λόγος, μικρολογίας καὶ ἀσωτίας προαναιρεῖ τὰς ἀφορμάς. Ταῦτα δὲ πάντα, ὡς ἀπὸ πηγῆς καὶ ἀρχῆς πρώτης, τοῦ ἑαυτὸν αἰσχύνεσθαι προάγεται. Τοῦτο δὲ τὸ παράγγελμα προείληφεν ἐν ἑαυτῷ τὸ Σαυτὸν γνῶθι, ὃ πασῶν

1. ὅθεν τῷ] M. et A. Curterius ὅθεν τό. — 4. ὄντως] MGC; οὕτως S. — 5. εἴη ἡ περὶ] G. et A. Vulgo ἀεὶ ἡ περὶ —. — 5. μηδὲν] M; μηδενὸς GC. — 5. ἀλλ' ἐπεσκεμμένως μὲν περὶ τοῦ σώματος ἔχουσα, ἐπεσκεμμένως δὲ καὶ περὶ τῶν] Cod. Med; ἀλλ' ἐπεσκεμμένη μὲν περὶ τοῦ θνητοῦ σώματος, ἐπεσκεμμένη δὲ περὶ τῶν SC. Utrumque ferri potest. — 8. καὶ] MGC; om. S. — 10. ὁ] M. G; om. Curt. — 11. ἀναφῆναι] Corr. N. ex A: ***intentio horum versuum est praebere et ostendere.*** Vulgo ἀναφανῆναι; M. ἀναφῦναι. — 13. λόγοις καὶ ἔργοις] G; λόγῳ καὶ ἔργῳ M. — 14. ἀνδρείαν] M; ἀνδρίαν GC. — 14. παραδίδωσι] Cod. Med. et S; vulgo δίδωσι. — 17. ἄλλοτ' S. M; ἄλλοτε δ' G. — 17. ὀλέσσαι] em; codd. ὀλέσθαι. Vid. ad carm. vers. 16. — 17. ὅτι τῇ σωφρονικῇ] G; vulgo ὅτι ἐπὶ τῇ σ.; M. ὅτι σωφρονικῇ. — 19. καὶ ἀποκτᾶσθαι] GC; om. MS. — 20. ἀσωτίας] MGC; ἀσματί S. — 21. ταῦτα δὲ πάντα] Curt. et M. Needhamius inverso ordine πάντα δὲ ταῦτα e Codd. Gall. edidit suadente etiam, ut ait, Aurispa. Eadem scriptura in Cod. Vindobonensi exstat. — 22. ἑαυτὸν] MGC; ἑαυτ̂ S. — 23. ἐν] GC; om. M.

μὲν σπουδαίων πράξεων, πασῶν δὲ θεωρητικῶν γνώσεων προϋποκεῖσθαι δεῖ. Ἐπεὶ πόθεν εἰσόμεθα, ὅτι προςήκει ἡμῖν μετριάσαι τῶν παθῶν, καὶ γνῶναι τὰ ὄντα; Ἀπορεῖται γὰρ περὶ αὐτῶν· πρῶτον μέν, εἰ δυνατὰ ἀνθρώποις ταῦτα· pag. 76. ἔπειτα, εἰ ὠφέλιμα τοῖς ἔχουσι γίνεται. Φαίνεται γὰρ πᾶν τοὐναντίον ἐλαττούμενος ἐν τοῖς κατὰ τὸν βίον ὁ σπουδαῖος, τῷ μὴ λαμβάνειν ἀδίκως ὅθεν οὐ δεῖ, καὶ τῷ ἀναλίσκειν δικαίως εἰς ἃ δεῖ· καὶ περὶ τὸ σῶμα παντὸς μᾶλλον εὐεπιχειρήτως διάκειται, μήτε ἀρχὴν αὐτὸς ἐπιτηδεύων, μήτε ἀνελευθέρως θεραπεύων τοὺς ἄρχοντας. Ὥστε, εἰ μή τις ἄλλη οὐσία ἐν ἡμῖν εἴη ἀπὸ τῆς ἀρετῆς ὠφελουμένη, σχολῇ γε ἂν πλοῦτον ἢ δυναστείαν δι᾽ αὐτὴν προησοίμεθα. Ὅθεν καὶ οἱ θνητὴν οἰόμενοι τὴν ψυχὴν περὶ τοῦ μὴ προΐεσθαι τὴν ἀρετὴν κομψεύονται μᾶλλον, ἢ ἀληθεύουσιν. Εἰ γὰρ μὴ εἴη τι ὑπομένον ἡμῶν μετὰ θάνατον, καὶ τοῦτο φύσιν ἔχον ἀληθείᾳ καὶ ἀρετῇ κοσμεῖσθαι, (οἷον δή φαμεν εἶναι τὴν λογικὴν ψυχὴν) οὐκ ἂν ἔφεσις ἡμῖν καθαρὰ γένοιτο τῶν καλῶν. Προαναιρεῖται γὰρ ἡ ὑποψία τῆς φθορᾶς τὴν περὶ ταῦτα σπουδήν, καὶ πρὸς ἀπολαύσεις ἄγει σωματικάς, ὁποῖαί ποτ᾽ ἂν ὦσιν αὗται, καὶ πόθεν ἂν πορίζεσθαι δύνωνται. Πῶς γὰρ δόξει ἔμφρονος εἶναι, κατ᾽ αὐτούς, ἢ μετρίως καθεστηκότος, μὴ πάντα χαρίζεσθαι τῷ σώματι, δι᾽ ὃ καὶ ἡ τῆς ψυχῆς ὑπόστασις σώζεται, οὐκ οὔσης μὲν καθ᾽ αὑτήν, ἐπιγινομένης δὲ τῇ ποιᾷ διαπλάσει τοῦ σώματος; Πῶς δὲ προησόμεθα δι᾽ ἀρετὴν τὸ σῶμα, μέλλοντες καὶ τὴν ψυχὴν αὐτὴν ἅμα

2. Verba ὅτι προςήκει usque ad περὶ αὐτῶν desunt in Cod. Med.; pro μετριάσαι S. habet μετριᾶσαι. — 4. ἀνθρώποις ταῦτα] MGC; ταῦτα ἀνθρώποις S. — 6. πᾶν τοὐναντίον] Codd; Curter. in marg. πως. — 6. ἐλαττούμενος] GC; ἐλαττονούμενος M. — 6. ὁ σπουδαῖος] MGC; σπουδαί¬ S. i. e. σπουδαίοις. — 9. ἀρχὴν] M; ἄρχειν GC; ἄρχ͡ S. — 11. σχολῇ] MC; σχολή G. — 11. δυναστείαν δι᾽ αὐτήν π.] Correxit Ashtonus; vulgo δυναστείαν αὐτὴν π. Sed sententia flagitat δι᾽ αὐτὴν i. e. διὰ τὴν ἀρετήν. Sic infra πῶς προησόμεθα δι᾽ ἀρετὴν τὸ σῶμα. Caeterum προησοίμεθα e Bentleji conjectura est, cujus loco Curterius conjecerat προησόμεθα. Cod. Curterii προςεξόμεθα. Mediceus et Salv. προςδεξόμεθα, sed S. M. 2 αὐτὴν προςδεξώμεθα. — 13. μὴ] Curt; om. MG. — 13. προΐεσθαι] MGC; προςίεσθαι S. — 19. ὁποῖαί ποτ᾽ ἂν] Cod. Med. omisso ποτε praebet ὁποῖαι ἂν; at servanda videtur vulgata, abjecta tantum ἑ littera, ut supra Comm. in vers. 4 scriptum est ὁποῖοί ποτ᾽ ἂν ὦσι. — 20. πῶς γὰρ δόξει] M; πῶς γὰρ ἂν δόξῃ G. — 24. δι᾽ ἀρετὴν] G; om. M.

τῷ σώματι διαφθείρειν, ὥστε μηδαμοῦ εἶναι τὴν ἀρετήν, ἧς ἐφέσει τὸν θάνατον ὑπεμείναμεν; Ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς τοῖς θείοις ἀνδράσιν ἀποδέδεικται, ὅτι τε ἀθάνατος ἡ ψυχή, καὶ ὅτι διὰ μόνης ἀρετῆς κοσμεῖσθαι πέφυκε. Νῦν δὲ τὸ παρὸν ἐπισφραγισάμενοι δόγμα, ἐπὶ τὰ ἑξῆς μεταβαίνωμεν, τοσοῦτον τοῖς προειρημένοις ἐπειπόντες, ὅτι ὥσπερ τῇ ἀγνοίᾳ τῆς οὐσίας ἡμῶν πᾶσα ἐπεισρεῖ κακία, οὕτω τῇ ἑαυτῶν γνώσει, καὶ ἀπαξιώσει τῶν μὴ πρεπόντων τῇ λογικῇ φύσει, ἡ τῶν καθηκόντων ἀπαραλόγιστος τήρησις εὑρίσκεται πανταχοῦ· τοῦτο δὲ pag. 78. τῶν κατὰ μέρος ἀρετῶν γίνεται μέτρον. Ὡς γὰρ πρὸς κανόνα τὴν οὐσίαν ἡμῶν ἀποβλέποντες, τὸ δέον ἐν πᾶσιν εὑρίσκομεν, κατὰ τὸν ὀρθὸν λόγον συμφώνως τῇ ἑαυτῶν οὐσίᾳ διαζῶντες. Πᾶν γὰρ ὃ ἀμείνονα τὴν ψυχὴν ποιεῖ, καὶ πρὸς τὴν φύσει πρέπουσαν εὐζωίαν αὐτὴν ἀνάγει, τοῦτο ὄντως ἀρετὴ καὶ φιλοσοφίας νόμος· τὰ δὲ μόνον πρὸς ἀνθρωπίνην εὐσχημοσύνην τείνοντα, δουλοπρεπῆ ἐστι σοφίσματα καὶ σκιαγραφία τῶν καλῶν,

3. ἀποδέδεικται] Cod. Med; sed SGC ἐπιδέδεικται, quod non damnandum. — 3. ὅτι τε] MC; ὅτι τε καὶ G. — 5. ἐπισφραγισάμενοι] G; ἐπισφραγισάμενος M. — 6. ἐπειπόντες] MGC; ὑπειπόντες Vat. — 8. τῇ λογικῇ] M; λογικῇ GC. — 11. τὴν οὐσίαν] G; om. M. — 12. ἑαυτῶν] M; αὐτῶν G. — 13. καὶ πρὸς — ἀνάγει] G. in marg. et M; vulgo haec sententiae pars deest. Aurispa vertit: ***quidquid enim meliorem animum facit, ipsum ad bonam et vere convenientem vitam ducit.*** — 16. σκιαγραφία τῶν καλῶν, — τοῦ δοκεῖν, οὐ τοῦ εἶναι] Duo Platonis locos haec scribens intuitus videtur Hierocles, quorum alter exstat in Phaedone p. 69. B. μὴ σκιαγραφία τις ᾖ ἡ τοιαύτη ἀρετὴ καὶ τῷ ὄντι ἀνδραποδώδης τε καὶ οὐδὲν ὑγιὲς οὐδ' ἀληθὲς ἔχουσα, alter secundo de repub. libro pag. 361. a. ἄνδρα ἁπλοῦν, κατ' Αἰσχύλον, οὐ δοκεῖν, ἀλλ' εἶναι ἀγαθὸν ἐθέλοντα. ἀφαιρετέον δὴ τὸ δοκεῖν. Aeschylus enim Sept. adv. Theb. v. 577 de Amphiarao haec ait: οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλει, βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος, ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα. Similes sententias, in quibus δοκεῖν et εἶναι vel species vero opponitur, multi et poetae et solutae orationis scriptores celebrarunt. Eurip. fragm. Ixion. ap. Plutarch. de aud. poët. c. 3. (p. 18. E.) et apud Stob. II, 8 (vid. Eurip. fragm. ed. Wagner pag. 218 ed. Vratisl. et pag. 720 ed. Paris)

τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο,
τὰ δ' ἔργα τοῦ πᾶν δρῶντος, ἔνθα κερδανεῖς.

Cf. Philemon. ap. Stobaeum IX p. 102. v. 5. Philostrat. Heroic. 164. Synes. Epist. XLIV p. 185. C. Heliodor. VII. 12. De reliquo illud οὐ τοῦ εἶναι in verbis Hierocleis certa est emendatio Mer. Casauboni qui quum vulgata scriptura esset αὐτοῦ εἶναι, quam etiam S agnoscit, facile

τὸν παρὰ τῶν πολλῶν ἔπαινον θηρωμένη, καὶ τοῦ δοκεῖν μόνον, οὐ τοῦ εἶναι, ἀγαθὸν τὴν πᾶσαν ποιουμένη φροντίδα. Καὶ ταῦτα μὲν περὶ τούτων. Τοῖς δὲ ὀρθοῖς λογισμοῖς ἐξ ἀνάγκης ἕπεται καὶ περὶ τῶν δοκούντων ἀτάκτως κατὰ τὸν βίον συμβαίνειν μὴ ἀλογίστως ἔχειν, ἀλλ' εὖ καὶ γενναίως ἀπολελογίσθαι τὰς τούτων αἰτίας, καὶ φέρειν αὐτὰ μηδὲν ἐγκαλοῦντας τοῖς ἐπιμεληταῖς ἡμῶν, οἳ πρὸς ἀξίαν ἀπονέμοντες ἑκάστῳ τὰ προσήκοντα, οὐ τῶν ἴσων ἠξίωσαν ἅπαντας τοὺς μὴ ὁμοίως προβεβιωκότας. Πῶς γὰρ ἂν προνοίας μὲν οὔσης, καὶ τῆς ψυχῆς ἡμῶν ἀφθάρτου μὲν κατ' οὐσίαν, προαιρέσει δὲ αὐτοκινήτῳ πρὸς ἀρετὴν ἢ κακίαν ὁρμώσης, ἐνῆν τὰ ἴσα τοῖς μὴ ἴσοις τοὺς τοῦ πρὸς ἀξίαν φύλακας νόμου ἀποδιδόναι, ἀλλὰ μὴ τὴν προσήκουσαν ἀπονέμειν ἑκάστῳ τύχην, ἣν καὶ προϊὼν εἰς γένεσιν ὁ ἄνθρωπος κληροῦσθαι λέγεται; Εἰ οὖν μὴ μῦθος τὸ εἶναι πρόνοιαν, ἀπονέμουσαν ἑκάστῳ τὰ πρέποντα, καὶ τὴν ψυχὴν ἡμῶν

quid scribendum esset repperit. Sic A: *ut boni videantur, non ut sint.* Cod. Med. habet αὐτοὺς εἶναι ἀγαθούς.

2. Holstenius ad hunc locum adnotat: „αὐτοῦ] mallem ἀλλ' αὐτοῦ, vel ἀντὶ τοῦ, vel ἄνευ τοῦ, vel potius simpliciter οὐ τοῦ, quod verissimum, et sic Salv." αὐτοὺς — ἀγαθοὺς — ποιουμένους Mh. — 3. δὲ] MGC; om. S. — 5. ἀπολελογίσθαι] Cod. M; vulgo ἀπολελογῆσθαι. — 6. ἐγκαλοῦντας] S. ut emendaverat Needhamius; vulgo ἐγκαλοῦντες. — 6. τοῖς ἐπιμεληταῖς ἡμῶν] curatores nostri habentur οἱ αἰθέριοι δαίμονες qui sunt μέσον γένος τῶν λογικῶν et modo ἥρωες modo ἄγγελοι dicuntur, ut supra exposuit. Eosdem postea τοὺς πρὸ ἡμῶν ἀθανάτους διοικητὰς nominat et in libr. de providentia ap. Phot. Cod. 251 τοὺς φύλακας καὶ ἐφόρους ἡμῶν et θείους δικαστὰς et θείους ἐπιστάτας appellat, quos etiam ait ὑπὸ θεοῦ τεταγμένους δικαστὰς ἡμῶν ἐπιμελεῖσθαι, ita ut quiquid viventibus nobis accidit vel quidquid agimus ad eorum curam et administrationem pertineat. — 7. οἳ πρὸς ἀξίαν] GC; εἰ πρὸς ἀξίαν M .S. — 8. προβεβιωκότας] Mds et R, uti Cas. conjecerat. A: *qui similiter non vixerunt.* Vulgo male προβεβηκότας. — 9. ἂν] S; om. G. MC. — 10. αὐτοκινήτῳ] MGC; αὐτοκινήτῳ S. — 13. ἀπονέμειν ἑκάστῳ] S; ἑκάστῳ ἀπ. MGC. — 14. εἶναι πρόνοιαν] S; προν. εἶναι MGC. — 15. τὴν ψυχὴν ἀθάνατον εἶναι] Hierocles animorum immortalitatis mentione injecta probare studet eam esse τῆς μετενσωματώσεως vim, ut eorum quae nobis contingunt malorum et calamitatum fons et causa vita sit ante acta eaque in re providentiae, quae unicuique pro meritis bona malaque tribuat, leges immutabiles cerni. Quam rem tanquam veram certamque in sequentibus ut in libris de providentia ἄνω καὶ κάτω, ut ait Photius cod. 251, versat, quum potius sit ἐπισφαλὴς καὶ ματαία καὶ σαθρά, et providentiae injuriam faciat.

ἀθάνατον εἶναι, δῆλον, ὡς μεταστῆσαι δεῖ τὴν αἰτίαν τῶν ἀλγεινῶν ἀπὸ τοῦ διοικοῦντος ἐφ' ἡμᾶς αὐτούς, ἐξ οὗ καὶ τὸ ἰᾶσθαι τὰ δυσχερῆ δύνασθαι δώσει ὁ λόγος. Ἐν ἑαυτοῖς γὰρ εὑρόντες τὰς αἰτίας τῆς τοσαύτης ἀνωμαλίας, πρῶτον μὲν τῷ ὀρθῷ τῆς κρίσεως ἐπελαφρυνοῦμεν τῶν συμβαινόντων τὸ μο- pag. 80.
χθηρόν· ἔπειτα ταῖς ἱεραῖς μεθόδοις καὶ ταῖς ὀρθαῖς νουθετήσεσι μεθαρμόζοντες τὴν ψυχὴν πρὸς τὸ ἄμεινον, παντελῶς ἑαυτοὺς τῶν ἀλγεινῶν ἐλευθερώσομεν. Τὸ δὲ πάσχοντα κακῶς μηδ' αἰσθάνεσθαι τὰς αἰτίας, μηδὲ καταμαντεύεσθαι τοῦ εἰκότως συμβαίνοντος, ἑαυτὸν ἣν ἐθίσαντος ἀλογίστως ἔχειν περὶ παντός, ὃ νῦν ἀπηγόρευσεν ὁ λόγος. Ἀνάγκη γὰρ τὸν ἀζητήτως ἔχοντα τῆς ἀληθοῦς αἰτίας ἐπὶ τὴν κρείττονα οὐσίαν μεταφέρειν τὸ ἔγκλημα, ἢ ὅτι οὐκ ἔστι παντελῶς, ἢ ὅτι οὐκ ἐπιμελεῖται ἡμῶν ὀρθῶς. Τὰ δὲ τοιαῦτα δοξάσματα οὐ μόνον τὰ ἐκ προβιοτῆς κακὰ ἐπιτείνει, ἀλλὰ καὶ εἰς πᾶσαν πονηρίαν τὴν ψυχὴν ἐπεγείρει, καὶ τῆς αὐτεξουσίου θεραπείας αὐτὴν ἀποστερεῖ, τῷ προστιθέναι λανθανούσας αἰτίας τῶν νῦν δυσχεραινομένων. Πῶς δὲ δεῖ περὶ τούτων φιλοσοφεῖν, ἐπάκουσον αὐτῶν τῶν ἐπῶν.

XI. 17—20.

Ὅσσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
ὧν ἂν μοῖραν ἔχῃς πράως φέρε, μηδ' ἀγανάκτει.

2. διοικοῦντος] G; διηκοῦντος Curt. — 3. ἐν ἑαυτοῖς GC; ἐν αὐτοῖς M; ἐναυτοῖς S. — 4. αἰτίας τῆς] G; τῆς om. Curt. — 4. ἀνωμαλίας] MGC; ἀνομαλίας S. — 5. ἐπελαφρυνοῦμεν] Cod. M. ut emendaverat Needhamius; vulgo cum Codice Vindobonensi ἐπελαφρύνομεν. Aurispa: *recto judicio diminuemus supervenientes nobis aerumnas.* — 6. μεθόδοις καὶ — νουθετήσεσι] G. M. R. et A: *per sacra compendia et rectos monitus,* vulgo μεθοδίαις καὶ ταῖς ὀρθαῖς νομοθετήσεσι. — 7. μεθαρμόζοντες] Cod. M. ut conj. B; vulgo μεθορμίζοντες. — 9. εἰκότως] M. A; Curter. male εἰκότος. — 10. περὶ παντὸς] G; τοῦ παντὸς M. — 12. ἀληθοῦς αἰτίας] G; ἀληθείας M. — 15. πᾶσαν] G; ἅπασαν M. — 16. αὐτὴν] GC; ἑαυτὴν M. — 16. τῷ] MC; τὸ G. — 17. λανθανούσας αἰτίας] M; vulgo λανθάνουσαν τὰς αἰτίας; S. λανθάνουσ τ αἰτι. — 17. πῶς δὲ] Cod. Med. et S. omisso καὶ; vulgo καὶ πῶς δέ. — 20. δαιμονίῃσι] G; δαιμονίαισι M. — 21. ὧν ἂν μοῖραν ἔχῃς πράως φέρε] G; vulgo ὡς ἂν μοῖραν ἔχῃς ταύτην πράως φέρε. Cod. M. et S. habent ἣν ἂν; iidem om. πράως; ἔχεις in solo S. est. Cf. adnot. ad carm. aur. vers. 16.

ἴᾶσθαι δὲ πρέπει, καθόσον δύνῃ· ὧδε δὲ φράζευ·
οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.

Πρὸ τῆς ἄλλης ἐξηγήσεως ἐκεῖνο προειπεῖν δεῖ, ὅτι ἄλγεα νῦν λέγει τὰ ἐπίπονα, καὶ τραχυτέραν ἡμῖν τὴν ὁδὸν τοῦ βίου παρασκευάζοντα· οἷον νόσον, πενίαν, φιλτάτων ἀποβολήν, ἀδοξίαν ἐν πόλει. Ταῦτα γὰρ χαλεπὰ μέν ἐστι, καὶ δυσδιάθετα κατὰ τὸν βίον· οὐ μὴν ὄντως κακά, οὐδὲ αὐτῇ τῇ ψυχῇ βλαβερὰ τυγχάνει, ἐὰν μὴ αὐτὴ ἐθέλῃ διά τι τούτων εἰς κακίαν
pag. 82. ἀποκλῖναι· ὃ καὶ ἐπὶ τῶν ἀγαθῶν δοκούντων πάθοι ἄν, μὴ βουληθεῖσα καλῶς αὐτὰ μεταχειρίζεσθαι· οἷον ὑγίειαν καὶ πλοῦτον καὶ δυναστείαν. Ἔστι γὰρ καὶ ἐν τούτοις κακυνθῆναι, καὶ ἐν τοῖς ἐναντίοις ἀρετὴν κτήσασθαι. Τὰ δὲ ὄντως κακά, τὰ ἐκ προαιρέσεώς ἐστιν ἁμαρτανόμενα, οἷς συνεισελθεῖν ἀρετὴν φύσιν οὐκ ἔχει. Ταῦτα δέ ἐστιν Ἀδικία, καὶ Ἀκολασία, καὶ πάντα ὅσα τὴν τοῦ καλοῦ σύζευξιν οὐκ ἐπιδέχεται. Οὐ γάρ ἐστιν οὐδενὶ τῶν τοιούτων τὸ καλῶς ἐπιφθέγγεσθαι· οἷον, ἀδικεῖ καλῶς, ἀκολασταίνει καλῶς, ὥσπερ ἐπὶ τῶν ἐκτὸς κακῶν λέγομεν, νοσεῖ καλῶς, πένεται καλῶς· ὅταν εὖ καὶ κατὰ τὸν ὀρθὸν λόγον τὰ τοιαῦτα φέρῃ ὁ ἄνθρωπος. Ταῖς δὲ ψυχικαῖς πονηρίαις οὐκ ἐπιφέρεται τὸ καλῶς, διότι ἀποστροφαί εἰσι καὶ ἀποτεύγματα τοῦ ὀρθοῦ λόγου, ὃν φύσει ἐνόντα, καὶ ἐγγεγραμμένον αὐτῇ, παρορᾷ ἡ ἀνθρώπου ψυχὴ ὑπὸ τῆς προσπαθείας ἀποτυφλουμένη.

2. δίδωσι] G; δίδωσιν M. — 8. ἐθέλῃ] M. R. et G. in marg.; vulgo ἔλθῃ. — 8. διά τι τούτων] S. M; διὰ τούτων G. — 9. ἀγαθῶν δοκούντων πάθοι] S. Vat. M 2; δοκούντων ἀγαθῶν πάθοι M; δ. ἀ. πάθῃ GC. — 9. ἀγαθῶν] M. G. et R; vulgo om. — 10. αὐτὰ] GC; om. M. — 10. ὑγίειαν] GS; ὑγείαν Curt. — 12. ἐν τοῖς] GC; om. M. — 13. ἐστιν] GC; om. M. — 13. συνεισελθεῖν] G; συνελθεῖν M. — 13. ἀρετὴν] G. Vat; ἀρετὴ M. et Curt; ἀρετ S. — 15. οὐ γάρ ἐστιν οὐδενὶ τῶν τοιούτων τὸ καλῶς ἐπιφθέγγεσθαι] Aristot. Eth. Nic. II, 6 οὐκ ἔστιν οὐδέποτε περὶ αὐτὰ κατορθοῦν, ἀλλ' ἀεὶ ἁμαρτάνειν· οὐδ' ἔστι τὸ εὖ — περὶ τὰ τοιαῦτα κ. τ. λ. — 17. νοσεῖ καλῶς, πένεται καλῶς] Aristot. Polit. VII, 13 χρήσαιτο δ' ἂν σπουδαῖος ἀνὴρ καὶ πενίᾳ καὶ νόσῳ — καλῶς. Simplicius in Epictet Enchir. c. 23. τὸ νοσεῖν καλῶς καὶ τὸ πένεσθαι καλῶς ἐφ' ἡμῖν ἐστι. Adde ipsum Epictet. ap. Arrian. 3, 10 τοῦ πυρέττειν καιρός ἐστι; τοῦτο καλῶς γενέσθω. τοῦ διψᾶν. δίψα καλῶς. τοῦ πεινᾶν; πεῖνα καλῶς. — 18. πένεται καλῶς] G; πένεται καὶ καλῶς M. — 19. φέρῃ] S; φέρει vulgo. — 19. ψυχικαῖς πονηρίαις] G. M; ψυχῆς πονηρίαις vulgo. — 22. ἀνθρώπου MGC; ἀνθρωπίνη Vat.

Τεκμήριον δὲ τοῦ ἐνεῖναι τὸν ὀρθὸν λόγον τοῖς ἀνθρώποις, τὸ καὶ τὸν ἄδικον, ἐν οἷς μηδὲν αὐτῷ διαφέρει, κρίνειν δικαίως, καὶ τὸν ἀκόλαστον, σωφρονικῶς· καὶ ὅλως, τὸν κακὸν ὀρθαῖς ἐπιβολαῖς χρῆσθαι, ἐν οἷς ἀπροςπαθής ἐστι. Διὸ καὶ μεθίστασθαι δύναται ὁ φαῦλος εἰς ἀρετὴν καταγνώσει τῆς προτέρας κακίας. Οὐ μὴν διὰ τοῦτο ἐνυπάρχειν δεῖ καὶ τὸν μὴ ὀρθὸν λόγον, ἵνα ἀρχὴ τῶν κακιῶν οὗτος γένηται, ὥσπερ ἐκεῖνος τῶν ἀρετῶν. Ἀρκεῖ γὰρ παρὼν ὁ ὀρθὸς λόγος, ὥσπερ νόμος ἐν πόλει, τά τε κατ' αὐτὸν πραττόμενα καὶ τὰ παρ' αὐτὸν διορίζειν, καὶ τὰ μὲν ἀποδέχεσθαι, τὰ δὲ σωφρονίζειν. Καὶ οὐδὲν δεῖ κακῶν ἀρχῆς, οὔτε ἐνυποκειμένης οὔτε ἔξωθεν κακοποιὸν αἰτίαν ἐνδιδούσης· ἀγαθῶν δὲ δεῖ ἀρχῆς μάλιστα καὶ μόνης, καὶ τῆς μὲν κεχωρισμένης τῶν λογικῶν οὐσιῶν, οἷός ἐστιν ὁ Θεός· pag. 84. τῆς δὲ ἐνυπαρχούσης αὐταῖς, καὶ τῇ κατ' οὐσίαν ἐπαφῇ κυβερνώσης, οἷός ἐστιν ὁ ὀρθὸς λόγος. Τοιαύτη μὲν ἡ τῶν κακῶν διάκρισις· ὧν οὐ τὰ προαιρετικά φησιν ἐκ τῆς δαιμονίας τύχης τοῖς ἀνθρώποις ἀπονέμεσθαι, ἀλλὰ τὰ περιστατικά, ἃ νῦν μὲν ἐν τοῖς οὐκ ἐφ' ἡμῖν κεῖται, πάλαι δὲ προαιρετικαῖς ἁμαρτίαις ἐπηκολούθησεν, ἀλγεινὰ μὲν ὄντα, ὡς ἔφαμεν, τὸν δὲ παρὰ

1. ἐνεῖναι — τοῖς ἀνθρώποις] G. Vat. et A: ***quod recta ratio hominum animis insit***; vulgo εἶναι — τ. ἀ.; S. ܐܝܬ i. e. εἶναι. — 2. αὐτῷ διαφέρει] Corr. N; vulg. αὐτοῦ, nisi quod Codd. G inverso ordine αὐτοῦ μηδὲν praebent; S. αὐτ' μηδὲν quod Gaisfordius in αὐτῷ μηδὲν mutavit. — 5. εἰς] G; πρὸς M. — 7. κακιῶν] G; κακῶν M. — 8. λόγος] G; om. M. — 10. οὐδὲν δεῖ κακῶν ἀρχῆς] Communi Platonicorum sententia malo non ὑπόστασις tribuitur, sed παρυπόστασις, quum σκοποῦ ἀποτυχία sit. Sallust. c. 12. οὐδὲν ἐν τῷ κόσμῳ φύσει κακόν. Proclus in Platonis Timaeum p. 116. a (pag. 273 ed. Schn.) δῆλον, ὅτι πᾶν τὸ κακὸν κατὰ παρυπόστασίν ἐστι. Idem in Plat. theol. 1, 17 ἡ τῶν κακῶν παρυπόστασις οὐκ ἐκ δυνάμεως ὑφέστηκε, ἀλλ' ἐκ τῆς ἀσθενείας τῶν δεξαμένων τὰς τῶν θεῶν ἐλλάμψεις. Similiter Simplicius in Epictetum c. 13 αἱ παρατροπαὶ οὐκ ἔχουσι προηγουμένην ὑπόστασιν, ἀλλὰ παρυφεστᾶσι τοῖς οὖσι κ. τ. λ. et cap. 34 p. 171 ed. Salmas. εἰ γὰρ ἦν καὶ τὸ κακὸν κατὰ φύσιν διάθεσις καὶ τελειότης τοῦ ἔχοντος αὐτὸ εἴδους, ἀγαθὸν ἂν ἦν καὶ αὐτό, καὶ οὐκ ἔτι κακὸν ἐλέγετο. ὥστε οὐκ ἔστι τις προηγουμένη φύσις καὶ ὑπόστασις τοῦ κακοῦ ὥσπερ ἡ τοῦ ἀγαθοῦ, ἀλλὰ παρυφίσταται τῷ ἀγαθῷ, ἔκπτωσις αὐτοῦ καὶ στέρησις ὑπάρχον. — 12. καὶ] G; om. MS. — 16. ἐκ τῆς] M. et Curt; ἐκ δὲ τῆς G. — 17. νῦν μὲν] MV; reliqui codd. μὲν omittunt. — 19. ὄντα] G; om. M.

τῆς ἀρετῆς κόσμον ἐπιδεχόμενα. Καὶ γὰρ πενίαν ἐκόσμησε σώφρων δίαιτα· καὶ ταπεινότητα γένους ἐπηνωρθώσατο φρόνησις· καὶ παίδων ἀποβολὴν πράως ἤνεγκεν ὁ δίκαιος βίος, ὁ δυνάμενος εἰπεῖν, Τέθνηκε τὸ παιδίον; οὐκοῦν ἀπεδόθη· καὶ Ἤιδειν θνητὸν γεγεννηκώς. Ὁμοίως δὲ καὶ τὰ ἄλλα πάντα, τῷ τῆς ἀρετῆς κάλλει περιβληθέντα, γίνεται εὐσχημονέστερα. Ἑξῆς δὲ ζητεῖ ὁ λόγος τίνες αἱ δαιμόνιαι τύχαι, καθ' ἃς οἱ βροτοὶ τὰς ἐκτὸς δυσχερείας ἔχουσιν. Εἰ μὲν γὰρ προηγουμένως ἡ θεία κρίσις δίδωσι τῷδε μὲν πλοῦτον, ἑτέρῳ δὲ πενίαν· δαιμονίαν ἔδει ταύτην προαίρεσιν καλεῖν, καὶ μὴ τύχην. Εἰ δὲ μηδὲν ἐπιστατεῖ ταῖς τῶν τοιούτων λήξεσιν, ἀλλ' ὡς ἔτυχε καὶ αὐτομάτως συμπίπτει, τὸν μὲν εὐτυχῆ εἶναι, ὥς φασι, τὸν δὲ δυστυχῆ· τύχην ἔδει ταύτην καλεῖν, καὶ μὴ δαιμονίαν τύχην. Εἰ δὲ πρὸς τὴν ἀξίαν ἑκάστῳ τὰ προσήκοντα ἀπονέμει ὁ ἐπιτροπεύων ἡμῶν θεός, καὶ τοῦ μὲν εἶναι τοιούσδε ἢ τοιούσδε ἡμᾶς οὐκ ἔστιν αἴτιος· τοῦ δὲ τὰς ἀμοιβὰς ἀποδοῦναι κατὰ τοὺς θεσμοὺς τῆς δίκης μόνος ἐστὶ κύριος, εἰκότως συνάψας εἶπε δαι-

2. ἐπηνωρθώσατο] Codd. G; ἐπανορθώσατο M. — 4. τέθνηκε τὸ παιδίον; οὐκοῦν ἀπεδόθη] Corr. B; vulgo cum MGS τὸ παιδίον· οὐκ οὖν ἀπεδόθη; Epicteti effatum est in Enchiridio c. 15. τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. ἡ γυνὴ ἀπέθανεν; ἀπεδόθη. Quod Hierocles subjungit ᾔδειν θνητὸν γεγεννηκώς, Anaxagorae ascribit Diogenes II, 13, alii Soloni aut Xenophonti. Cf. ibi Casaub. et Menag. De eodem dicto Epictetus ap. Arrian. 3, 24 μέγα ἐπὶ πάντων τὸ ᾔδειν θνητὸν γεγεννηκώς. — 5. γεγεννηκώς] G; γεγενηκώς Curt. — 6. ἑξῆς δὲ ζητεῖ ὁ λόγος] Non male vertit Curterius: *quaerit oratio*, quod Needhamius corrupit in *quaerit versus*. At sensus est: deinceps autem inquiremus, quae sint illae divinae fortunae etc., ut Hieroclem haec non de carmine, sed de suo commentario quo carmen illustrat intellexisse minime obscurum sit. — 8. δυσχερείας] M; δυσχερίας Curt. — 8. εἰ μὲν γὰρ] S; εἰ μὲν vulgo. — 9. δὲ] G; om. M. — 9. πενίαν] M; πένεσθαι G. — 11. ἐπιστατεῖ ταῖς τῶν τοιούτων λήξεσιν] M; sic etiam S. in margine, sed λέξεσι in textu; vulgo ἐπιστατεῖται τῶν τοιούτων λέξεων. — 12. εὐτυχῆ εἶναι] G; εὐτυχεῖν M. — 12. δυστυχῆ] G; δυστυχεῖς M. — 13. τύχην ἔδει] G; vulg. τύχην μόνην ἔδει. Curter. scripsit μόνον, ut est in S et apud A: *fortunam solum.* — 13. ταύτην καλεῖν] G; καλεῖν ταύτην Curt. — 14. τὴν ἀξίαν] S; ἀξίαν vulgo. — 15. ἡμῶν θεὸς] G. et A: *procurator nostri deus;* vulgo ἡμῶν deest. — 15. τοῦ μὲν εἶναι τοιούσδε ἢ τοιούσδε] G. et A; vulgo τοὺς μὲν omissis verbis ἢ τοιούσδε. Sed verum jam viderat Cas. — 17. μόνος] G. et A; vulgo μόνον.

μονίας τύχας τὰς τῆς κρίσεως ἀποφάνσεις· ᾗ μὲν θεῖον καὶ νοερόν ἐστι τὸ κρῖνον, δαιμονίας καὶ ἐπιστημονικὰς αὐτὰς προςειπών· ᾗ δὲ οἰκείᾳ προαιρέσει κακύνεται τὸ κρινόμενον, καὶ διὰ τοῦτο γίνεται τῶν δυσχερῶν τούτων ἄξιον, προσθεὶς τὸ τύχας, ὅτι οὐ προηγουμένως τόνδε τινὰ κολάσαι ἢ τιμῆσαι πρόκειται pag. 86. τῷ θεῷ, ἀλλ' ἀεὶ τὸν τοιόνδε ἢ τοιόνδε γενόμενον· τούτου δὲ τὴν αἰτίαν ἐν ἡμῖν κεῖσθαι. Τὴν μὲν οὖν ἐπιπλοκὴν τῆς ἡμετέρας προαιρέσεως καὶ τῆς ἐκείνου κρίσεως τύχην ἀπογεννᾶν, ὥστε εἶναι τὸ ὅλον τοῦτο, δαιμονίαν τύχην, τὴν ἐπὶ τοῖς ἡμαρτημένοις θείαν ψῆφον· καὶ συνειςάγειν οὕτω τὴν τῶν ὀνομάτων τεχνικὴν εὕρεσιν, τήν τε θείαν ἐπιστασίαν, καὶ τὸ αὐτεξούσιον τῆς ψυχῆς, καὶ ἀθάνατον· καὶ μήτε καθ' εἱμαρμένην ἢ πρόνοιαν πάντα γίνεσθαι, μήτε ὡς ἔτυχε, καὶ ἀπὸ ταὐτομάτου, μήτε κατὰ τὸ

1. ἀποφάνσεις] MGC; ἀποφάσεις Vat. — 1. ᾗ μὲν — τὸ κρῖνον, — προςειπών· ᾗ δὲ] Mds. Mh. et Codd. N; vulgo cum S. εἰ μὲν — τὸ κριτήριον, — προειπών· εἰ δὲ —. Aurispa vertit: *Nam quod ex intellectu dei judicium procedit, sententias ipsas coelestes et intellectuales nominavit; quod vero propria voluntate, contra quem judicium fit, deturpatur, et ob hoc digne calamitates patitur, adjunxit fortunam.* — 5. οὐ] M; om. G. — τινὰ] G; om. M. — 7. οὖν ἐπιπλοκὴν] G; συμπλοκὴν M. — 8. τὸ] G; om. M. — 10. συνειςάγειν οὕτω τὴν τῶν ὀνομάτων τεχνικὴν εὕρεσιν] Ita recte e codd. Gall. edidit Curterius (Paris. 1583). At Needhamius qui non ipsam Curterii editionem consuluisset, sed eam quae Londini anno 1654 mendose promulgata praeter alia Curterii textum, interpretationem et animadversiones in Hieroclem continet, reperta vitiosa scriptura συνειςάγει Bentlejo auctore addidit διά, ut sententia esset: συνειςάγει οὕτω διὰ τὴν. Sed nulla opus est mutatione. Ait igitur hanc artificiose excogitatam vocabulorum conjunctionem (δαιμονίαν τύχην) ea quae sequuntur complecti τήν τε θείαν ἐπιστασίαν καὶ τὸ αὐτεξούσιον ψυχῆς καὶ ἀθάνατον. — 12. ἀθάνατον] Sic bene exemplaria manu exarata. M. Casaubonus non intellecto ἀθάνατον scribi volebat αὐτόματον. Pariter Bentlejus et Needhamius locum variis conjecturis vexarunt quorum ille ἀδούλωτον vel ἀδέσποτον, hic haud secus atque Holstenius αὐθαίρετον ponendum suspicabatur, quum quid esset hic ἀθανασία non satis perspicerent. Quid autem sibi velit ἀθανασία docebo Platonis e Phaedone (c. 16) verbis: πρὶν ἐν τῷδε τῷ ἀνθρωπίνῳ εἴδει γενέσθαι, ὥστε καὶ ταύτῃ ἀθάνατον εἶναι τὴν ψυχήν. Est igitur ἀθανασία hic idem quod προβιοτή, cujus dum praemia poenasque commemorat scriptor, simul providentiae in moderandis rebus humanis vim cum libero hominum arbitrio salva rerum destinatarum serie conciliare aggreditur. — 12. πάντα γίνεσθαι] M; A: omnino. Vulgo πανταχόθεν.

αὐτοπροαίρετον ἡμῖν τὸν βίον διατίθεσθαι πάντα. Ἀλλ' ὅσα μὲν ἐν τοῖς ἐφ' ἡμῖν ἁμαρτάνομεν, ταῦτα εἰς προαίρεσιν ἀναφέρεσθαι· ὅσα δὲ ἐπὶ τοῖς ἡμαρτημένοις κατὰ τοὺς τῆς δίκης ἕπεται νόμους, εἰς εἱμαρμένην· τὰ δὲ προηγουμένως παρὰ τοῦ θεοῦ ἐνδιδόμενα ἀγαθά, εἰς πρόνοιαν· εἰς δὲ τὸ εἰκῇ, καὶ ὡς ἔτυχεν, οὐδὲν τῶν ὄντων ἀναφέρειν τὴν αἰτίαν· ἀλλ' οὐδὲ τῶν γινομένων· εἰ μὴ ἄρα κατὰ συμβεβηκός, καὶ κατ' ἐμπλοκὴν τῶν ἀπὸ προνοίας καὶ εἱμαρμένης καὶ προαιρέσεως προηγουμένως ἐνεργουμένων, ἐπακολουθήσει τὸ ὡς ἔτυχε τοῖς πρωτουργοῖς αἰτίοις. Οἷον φέρε, ὁ δικαστὴς τὸν φονέα κολάζειν βούλεται, καὶ οὐ τόνδε τὸν ἄνθρωπον· κολάζει δὲ καὶ τοῦτον, ὃν οὐκ ἐβούλετο, ὅταν αὐτὸς ἑαυτὸν εἰς τὴν τοῦ φονέως ἐναρμόσῃ τάξιν. Καὶ γίνεται προηγουμένη μὲν ἡ κατὰ τοῦ φονέως αὐτῷ ψῆφος· κατὰ συμβεβηκὸς δέ, ἡ κατὰ τοῦδε τοῦ ἀνθρώπου, ὅτι ἐκὼν ὑπέδυ τὸ τοῦ φονέως πρόσωπον. Καὶ πάλιν, ὁ πονηρὸς ἄνθρωπος φονεῦσαι μὲν ἠβούλετο, δοῦναι δὲ ἐπὶ τούτῳ δίκας οὐκ ἤθελεν. Ὥστε καὶ ἐπὶ τούτου γίγνεσθαι προηγουμένην μὲν τὴν φονικὴν διάθεσιν, ὡς ἀπὸ τοῦ αὐτεξουσίου τῆς ψυχῆς ἠρτη-
pag. 88. μένην· κατὰ συμβεβηκὸς δὲ ἐπακολουθεῖν τὰς ἐπὶ ταύτῃ στρεβλώσεις τε καὶ αἰκίας. Τούτων δὲ πάντων αἴτιος ὁ νόμος, ὁ καὶ τῷ δικαστῇ τὴν προαίρεσιν τοῦ κολάζειν τοὺς φαύλους ἐντιθείς, καὶ τῷ φονεῖ τὴν τιμωρὸν ψῆφον ἐπάγων. Ταὐτὸ δή μοι

1. διατίθεσθαι] Cod. Med. rectius quam quod vulgo legitur τίθεσθαι. Sic etiam Hierocles libro de providentia ap. Phot. 251 col. 1393 non esse tale τὸ ἡμέτερον αὐτεξούσιον, ὥστε δύνασθαι τὰ ἀνθρώπινα πάντα διατίθεσθαι, ὡς βούλεται. Quod autem praecedit τὸ αὐτοπροαίρετον e Bentleji conjectura est pro vulgato τὸ αὐτὸ προαιρετέον, cujus loco Med. habet τὸ αὐτὸ προαίρετον. — 2. ἐν] G; vulgo om. — 5. ἐνδιδόμενα] G; ἐκδιδόμενα M. et Curt. — 6. οὐδὲν] G; οὐδενὸς M. — 7. μὴ ἄρα] G; om. M; μὴ om. S. — 7. τῶν] G; τὴν M. — 8. προηγουμένως] G; om. M. — 9. ἐνεργουμένων] G. et A; *quae procedunt a providentia.* Vulgo ἐνεργουμένοις; M. ἐνερουμένους. — 11. δὲ] G; om. M. — 12. ἐναρμόσῃ] MG. et A; vulgo ἐναρμόζει. — 13. αὐτῷ] G; om. M. — 14. δὲ] G; om. M. — 14. ὅτι] G; ὅστις M. — 15. ὁ πονηρὸς] G; ὅπηρος M. — 16. ἠβούλετο M; ἐβούλετο G. — 17. ἤθελεν] G; ἐθέλησεν M. — 17. γίγνεσθαι] Curt; γίνεσθαι G; om. M. — 18. τὴν] G; vulgo om. — 19. ταύτῃ] MGC; ταυτ^ς S. — 20. αἰκίας] Corr. B; A: *torturae et cruciatus.* Vulgo κακίας; S ̅κκιας i. e. κακίας. — 22. ψῆφον] G; τύχην SM. — 22. ταὐτὸ] G; ταυτὸν M.

τοῦτο καὶ ἐπὶ τῆς θείας ἐπιστασίας λογίζου· προαιρέσεως ἀνθρωπίνης δρᾶσαι κακὰ βουληθείσης, καὶ προαιρέσεως νομοφυλάκων δικαστῶν ἐπανορθοῦσθαι τὰ κακὰ πάσῃ μηχανῇ πειρωμένης, τὴν συνδρομὴν δαιμονίαν τύχην ἀποτελεῖν, καθ' ἣν ὁ τὰ τοιάδε εἰργασμένος τῶν τοιῶνδε γίνεται ἄξιος τιμωρημάτων· τοῦ μὲν προῃρῆσθαι τὰ φαῦλα εἰς τὸ αὐτεξούσιον τοῦ κρινομένου τὴν αἰτίαν ἀναφέροντος, τοῦ δὲ ἑπομένου τῇ ἀξίᾳ τιμωρήματος εἰς τὴν τῶν κρινόντων νομοφυλακικὴν ἐπιστήμην· τούτων δὲ συναγωγέα εἶναι τὸν νόμον, τὸν ἀγαθὰ μὲν εἶναι πάντα κατὰ δύναμιν, φαῦλον δὲ μηδὲν εἶναι, διατεταγμένον. Οὗτος γὰρ προϋφεστὼς ἐν τῇ τοῦ θεοῦ ἀγαθότητι οὐκ ἐᾷ ἀνευθύνους εἶναι τοὺς κακούς, ἵνα μὴ ἐμμένον τὸ κακὸν εἰς ἀναισθησίαν παντελῆ τῶν ἀγαθῶν ἐλάσῃ, ὧν τὴν ἀναγκαίαν ὑπόμνησιν ἡ παρὰ τῶν νομοφυλάκων δίκη χορηγεῖ. Συνάγει οὖν ὁ νόμος, ὡς εἴρηται, τοὺς πεφυκότας κρίνειν, καὶ τοὺς πεφυκότας κακύνεσθαι, δι' ἀμφοτέρων τὸ οἰκεῖον ἀπεργαζόμενος ἀγαθόν. Εἰ γὰρ τὸ διδόναι δίκην τοῦ μὴ διδόναι ἐστὶ λυσιτελέστερον, καὶ πρὸς σωφρονισμὸν τῆς ἀμετρίας τῶν κακῶν ἡ δίκη βλέπει, δῆλον ὅτι πρὸς τὸ ὠφελεῖν καὶ ὠφελεῖσθαι συνήρμοσεν ὁ νόμος τὰ δύο ταῦτα γένη· τὸ μὲν κριτικόν, ὡς νομοφυλακικόν, τοῦ ἑτέρου προτάξας· τὸ δὲ ἁμαρτάνειν καὶ κρίνεσθαι πεφυκός, ὡς παρανομητικόν, τῷ ἀμείνονι παραδοὺς γένει, κατὰ τὴν ἀξίαν αὐτὸ μεταχειρίζεσθαι, ὅπως ἂν εἰς ἀνάμνησιν καὶ ἔννοιαν ἔλθῃ ποτὲ τοῦ νόμου, δι' οὗ πάσχει

1. τοῦτο καὶ ἐπὶ τῆς θείας ἐπιστασίας λογίζου· προαιρέσεως] G. R. et A. Vulgo καὶ ἐπὶ τῆς θείας οὐσίας λογίζου τῆς προαιρέσεως omisso τοῦτο. Cod. M. om. etiam τῆς ante προαιρέσεως. — 4. συνδρομὴν] G; σύνδρομον M. — 5. τιμωρημάτων] M; τιμημάτων G. — 6. τὰ φαῦλα] G; τὸ φαῦλον M. — 7. τιμωρήματος] M; τιμήματος G. — 8. κρινόντων] MG. et A: ***ad disciplinam judicum***. Vulgo κρινομένων. — 9. ἀγαθὰ] M; ἀγαθὸν G. — 9. πάντα κατὰ δύναμιν] πάντα Cod. Med. et A: ***ut quantum possit bona sint omnia***. Vulgo om. πάντα. — 14. Verba δίκη usque ad νόμος, ὡς om. MS. — 15. τὸ οἰκεῖον — ἀγαθὸν] i. e. τὸ κόψαι τὴν κακίαν, ut in sequentibus monet. — 18. βλέπει] MG. et A: ***et ad correctionem malorum poena spectat***, uti conjecerat Cas. Vulg. βλάπτει. — 19. συνήρμοσεν] Cod. Med; συνείρμοσεν S; vulgo δίδωσιν. συνήρμοσεν idem valet quod συνήγαγεν. Ita supra ait τὸν νόμον εἶναι συναγωγέα τοῦ κρινομένου καὶ τοῦ κρίνοντος et paucis interjectis συνάγει ὁ νόμος τοὺς πεφυκότας κρίνειν καὶ τοὺς πεφυκότας κακύνεσθαι. — 23. ἔλθῃ] M; ἔλθοι M. — 23. δι' οὗ] Cod. Med. et Aurispa, qui vertit ***per***

κακῶς. Ὃν γὰρ ἐν τῷ πράττειν κακῶς ἀπηρνοῦντο, τοῦτον ἐν pag· 90. τῷ πάσχειν κακῶς ἐπιποθοῦσιν οἱ ἄνθρωποι. Οἷον, ὁ ἀδικῶν οὐ βούλεται εἶναι θεόν, ἵνα μὴ τὸ διδόναι δίκην, ὡσπερεί τινα Ταντάλου λίθον, ἐπικρεμάμενον ἔχῃ· ὁ δὲ ἀδικούμενος βούλεται εἶναι θεόν, ἵν' ἐπικουρίας ὧν πέπονθε τύχῃ. Διὸ τοὺς ἀδικοῦντας εἰς τὸ ἀδικεῖσθαι περιστῆναι δεῖ, ἵν' ὃ μὴ ἔβλεπον ἐν τῷ δρᾶν, τῷ τῆς πλεονεξίας πάθει μεθύοντες, ἐν τῷ πάσχειν μεταμάθωσι, τῷ τῆς ἐλαττώσεως ἀνιαρῷ παιδευόμενοι, εἴ γε καλῶς ὑπέχοιεν δίκας. Εἰ δὲ τῇ ἰταμότητι τῆς προαιρέσεως ἔτι κακύνοιντο, αὐτοὶ μὲν ἴσως ἧττον ὠφελοῦνται· παράδειγμα δέ που γίνονται πάντως παιδευτικὸν τοῖς εὖ φρονοῦσι, καὶ διαισθάνεσθαι δυναμένοις τὰς αἰτίας τῶν τοιούτων παθῶν. Ταύτας τῆς κρίσεως ἀρχὰς κυριωτάτας ἀποδεχώμεθα, τὴν ἀγαθότητα τοῦ θεοῦ, τὸν ἀπὸ ταύτης νόμον, τὸν ἐν ἡμῖν παρανομούμενον ὀρθὸν λόγον, καί, ὥσπερ τινὰ ἔνοικον θεόν, πλημμελούμενον· ἀποτέλεσμα δὲ τῆς κρίσεως, τὰ ἄλγεα, ὥς φησι, ταῦτα, ὅσα τραχύτερον ἡμῖν ποιεῖ τὸν βίον ταῖς περὶ σῶμά τε καὶ τὰ ἐκτὸς λύμαις· ἃ δὴ πράως φέρειν ὁ παρὼν εἰσηγεῖται λόγος ἐνθυμουμένους τὰς αἰτίας αὐτῶν, καὶ ὅσον οἷόν τε περικόπτοντας, καὶ μετατιθέντας εἰς ὠφέλειαν τὰ δοκοῦντα βλαβερά· μάλιστα μὲν τῶν θείων ἀγαθῶν ἑαυτοὺς ἀξίους παρέχεσθαι διὰ τῆς ἀκροτάτης ἀρετῆς. Εἰ δέ τῳ τοῦτο οὔπω ἐν

quam (legem), vulgo cum S. δι' ὧν, quod non male se habet. Sed codicis Medicei lectio firmatur iis quae infra dicuntur τὸν νόμον κολάζειν τὸν κακὸν et κόψαι τὴν κακίαν. Codd. Gall. habent ἔλθοι δι' ὃ πάσχει κακῶς. — 3. διδόναι] G; δοῦναι MS. — 3. ὡσπερεί] G; ὥσπερ M. — 6. περιστῆναι] G; παραστῆναι M. — 6. ὃ μὴ ἔβλεπον] G; οἱ μὴ βλέποντες M; ὁ μὴ βλεπον S. sine acc. — 8. τῷ τ.] MGC; τὸ S. — 11. δέ] M; om. G; δὲ πάντως που γ. π. Vat. Mh. — 11. γίνονται] MG; γίγνεται S. — 12. διαισθάνεσθαι] GM. et A: ***qui causas harum calamitatum intelligere possunt.*** Vulgo αἰσθάνεσθαι. — 13. ταύτας] G; τὰς M. — 13. ἀποδεχώμεθα] M; ἀποδεχόμεθα G. — 16. κρίσεως] M; φύσεως G. — 17. ποιεῖ] G; om. M. — 18. σῶμά] G; σώματα M. — 18. λύμαις] G: λύμας ἐργάζεται M. — 18. παρὼν] MGC; παρὸν S. — 19. ὅσον οἷόν τε] GM; vulgo ὅσων. — 22. εἰ δέ τῳ τοῦτο οὔπω ἐν ὀρέξει] Cod. Med. et S. hoc sensu ***si cui hoc nondum desiderio sit***, videlicet τῶν θείων ἀγαθῶν ἑαυτὸν ἄξιον παρέχεσθαι διὰ τῆς ἀκροτάτης ἀρετῆς. Eandem lectionem exprimit Aurispa interpretans ***si hoc nondum.*** Codd. Gall. praebent mero librariorum errore εἰ δὲ τὸ τούτων οὔπω ἐν ὀρέξει; unde Needhamius

ὀρέξει, τῶν γοῦν πολιτικῶν ἀγαθῶν διὰ τῆς μέσης ἀρετῆς τυγχανέτω. Τοῦτο γὰρ ἦν, ὃ πρὸς τὸ πάσχειν καλῶς τὰ ἀλγεινὰ καὶ ἰᾶσθαι αὐτὰ ἐπιταττόμεθα. Τίς οὖν ἡ ἴασις, ἢ τὰ προειρημένα πάντα, ἀφ' ὧν καὶ ἡ εὐλόγιστος τῶν ἀλγεινῶν ὑπομονή, καὶ ἡ θεραπευτικὴ μέθοδος ὑποδείκνυται; Κεφάλαιον δὲ τῶν εἰρημένων, ὅτι ὁ θεός, νομοθέτης ὢν ἅμα καὶ δικαστής, τίθεται pag. 9 μὲν τὰ ἀγαθά, ἀναιρεῖ δὲ τὰ κακά· διὸ καὶ πάντη κακῶν ἐστιν ἀναίτιος· τοὺς δὲ κακυνθέντας αὐτεξουσίοις ὁρμαῖς, καὶ τὸν ἐν αὐτοῖς ὀρθὸν λόγον ἀμνημονήσαντας, ὡς μὲν κακοὺς κολάζει τῷ νόμῳ τῷ ἀπαγορεύοντι τὰ κακά· ὡς δὲ ἀνθρώπους, τῇ ἐπεισιούσῃ ἐπιπλοκῇ τοῦ νόμου πρὸς τὴν προαίρεσιν, ἣν δὴ τύχην καλοῦμεν. Οὐ γὰρ ἁπλῶς τὸν ἄνθρωπον, ᾗ ἄνθρωπον, κολάζει ὁ νόμος, ἀλλ' ᾗ κακόν. Τοῦ δὲ κακὸν γενέσθαι τὴν πρώτην αἰτίαν εἶχεν ἡ προαίρεσις· ἐπειδὰν δὲ κακὸς γένηται, (ὅπερ ἦν ἐφ' ἡμῖν, ἀλλ' οὐκ ἐπὶ τῷ θεῷ,) τότε δίδωσι δίκας, (ὅπερ ἦν ἐπὶ τῷ θείῳ νόμῳ, ἀλλ' οὐκ ἐφ' ἡμῖν). Σκοπὸς δὲ τοῦ νόμου μόνος ἂν εἴη πρέπων τε θεῷ, καὶ ἡμῖν ἐπωφελής, τὸ διακόψαι

effecit εἰ δέ τι τούτων οὔπω ἐν ὀρέξει. Verum nihil tale hic flagitatur, quum aut in exemplaris Medicei scriptura acquiescendum sit aut lectionem Curterianam cum Ashtono revocari conveniat. Namque edd. Paris. et Lond. haec exhibent: εἰ δέ τις τούτων οὔπω ἐν ὀρέξει *si quis autem nondum horum desiderio afficitur*. B. conj. εἰ δέ τις τούτων οὔπω ἐν ἕξει. — 3. τίς] G; τί M. — 3. ἢ] G; om. M. — 4. ἡ] G; om. MS. — 4. ὑπομονή] Corr. B; vulgo ὀδύνη cujus loco A. legit ἡδονή vertens: *calamitatum ex ratione procedens voluptas*. Id ipsum ἡδονὴ reperitur etiam in Codd. G. S. Vat. Mh. Salv. — 7. πάντη κακῶν ἐστιν ἀναίτιος] Simplicius in Epictet. p. 24 ed. Salmas. παντοίας ὁ θεὸς κακίας ἀναίτιός ἐστι. Idem p. 184 λαμπρᾷ τῇ φωνῇ βοῶμεν, ὅτι ὁ θεὸς κακίας ἀναίτιος. Hierocles ap. Stobaeum Ecl. eth. fin. ὁ θεὸς οὐδαμῇ οὐδαμῶς κακῶν αἴτιός ἐστι. — 8. αὐτεξουσίοις] Recte S. et Cod. Med. quamquam alii ibi reppererunt ἐξουσίαις; vulgo αὐτεξουσίαις. — 8. τὸν ὀρθὸν λόγον] G; τῶν ὀρθῶν λόγων M; ὀρθ˜ λογ˜. S. — 9. τῷ νόμῳ τῷ ἀπαγορεύοντι MG. et A: *lege quae*. Vulgo κατὰ τὸν νόμον τὸν ἀπαγορεύοντα. — 10. ἀνθρώπους] MGC; ἀνθ˜ ἄνος S. — 10. ἐπεισιούσῃ] G; ἐπιούσῃ M. — 11. δὴ] MGC; δεῖ S. — 12. ᾗ ἄνθρωπον — ἀλλ' ᾗ κακόν] Vat. MCG; Curt: ᾗ ἄνθρωπος (S. ἢ ἀνθρ.) — ἀλλ' ᾗ κακός S. Curt. — 14. ἐπειδὰν δὲ κακός] G; vulgo ἐπειδάν κακός. ἐπειδὰν οὖν κακὸς M. ἐπειδ' ἂν οὖν SVMh. — 15. In cod. Med. desunt omnia inde a verbis ἀλλ' οὐκ usque ad alterum ἀλλ' οὐκ. — 17. πρέπων τε θεῷ] Cod. Med. et S; reliqui τῷ θεῷ. — 17. ἡμῖν] MGC; ἐν ἡμῖν S. — 17. διακόψαι] Cod. Med; κόψαι Curt; ἀποκόψαι VMh; ἀπὸ κόψαι S.

τὴν κακίαν, καὶ ἀποκαθᾶραι τοῖς παντοδαποῖς τῆς δίκης σωφρονισμοῖς, καὶ ἐπιστρέψαι τὴν ὑποπεσοῦσαν τῇ πονηρίᾳ ψυχὴν εἰς ἀνάμνησιν τοῦ ὀρθοῦ λόγου. Καὶ οὕτως ἑστῶτος τοῦ νόμου, καὶ τὰ αὐτὰ ἀεὶ φθεγγομένου, τὴν ἀξίαν ἕκαστος τὴν ἑαυτοῦ ἄλλοτε ἄλλην ποιήσας οὐ τῶν αὐτῶν ἀεὶ τυγχάνει· οὐ γὰρ δίκαιον τοῦτό γε, οὐδὲ ἡμῖν συμφέρον. Τὴν δὲ μεταβολὴν τῆς κρίσεως ἡ τοῦ κρινομένου μεταβολὴ δίδωσι· τὸν γὰρ μὴ τὸν αὐτὸν διαμείναντα πῶς τῶν αὐτῶν ἐστιν ἀξιοῦν; Καλῶς φέρειν οὖν τὰς δαιμονίας τύχας δεῖ, καὶ μὴ ἀγανακτεῖν διδόντα δίκην, καί, ὅσον ἐπὶ τῇ θείᾳ κρίσει, καθαιρόμενον, διὰ τῶν δοκούντων ἐμποδίων εἶναι πρὸς εὐπάθειαν τοῦ τῇδε βίου. Ὁ δὲ τοιοῦτος λογισμὸς ἴασίς τε γίνεται τῶν προημαρτημένων, καὶ ἐπιστροφὴ πρὸς τὸν ἐνυπάρχοντα ἡμῖν ὀρθὸν λόγον· πῶς γὰρ ὁ κακίας εἶναι καρποὺς τὰ ἀλγεινὰ τιθέμενος, οὐ φεύξεται τὴν εἰς ταῦτα κατάγουσαν αὐτὸν αἰτίαν, καί, εἰ δεῖ χαλεπαίνειν
pag. 94. ἐν τοῖς λυπηροῖς, ἑαυτῷ μᾶλλον οἰήσεται δεῖν χαλεπαίνειν, ἢ τῷ κωλύοντι τὴν πονηρίαν θεῷ διὰ τῶν ὀργάνων τῆς δίκης, δι' ὧν ἔστι συνιέναι καὶ ἀναμιμνήσκεσθαι, οἷον ἦν ἄρα ἀγαθὸν μὴ ἀφίστασθαι τῶν θείων νόμων, μηδὲ ἑκόντας κακύνεσθαι. Οὐ γὰρ ὡς ἔτυχε τὰ ἀλγεινὰ τοῖς ἀνθρώποις διανέμεται, εἴπερ θεὸς καὶ δίκης ὅροι προεστήκασιν ἡμῶν, τὴν ἀξίαν μοῖραν ἐφ' ἑκάστοις ἐπάγοντες· διό, καὶ τὸ οὐ πάνυ τοῖς ἀγαθοῖς τὰ ἀλγεινὰ συμπίπτειν, εὔλογον. Πρῶτον μὲν γὰρ οἴσουσιν αὐτὰ πράως τῇ εὐαρεστίᾳ τῆς θείας κρίσεως, καὶ τῇ τῆς ἀρετῆς προςκτήσει, δι' ἣν πραότερα μὲν τὰ χαλεπὰ γίνεται.

4. ἕκαστος τὴν ἑαυτοῦ ἄλλοτε] G. M; vulgo ἕκαστος ἄλλοτε. — 7. τὸν αὐτὸν διαμείναντα] M. et A. Vulgo cum S. τοιοῦτον omisso διαμείναντα. — 8. καλῶς φέρειν] Ita codd. non male; sed fortasse praestat πράως, quod legendum conjecit Ashtonus, quemadmodum est in carmine atque in Aurispae et Curterii interpretationibus, quorum uterque vertit: *aequo animo*. — 11. ἐμποδίων] G; ἐμπόδιον M. — 11. εὐπάθειαν] G; ἀπάθειαν M. — 11. τῇδε] G; θείου M. 1. 3. V. — 13. ὀρθὸν λόγον] S; λόγον ὀρθὸν reliqui. — 15. ταῦτα] G; vulgo αὐτά. — 15. κατάγουσαν] G; ἀπάγουσαν M. — 17. κωλύοντι] Codd; κολούοντι B. conj. Cf. Wyttenb. ad Plut. p. 69. E. — 18. συνιέναι] Cod. Med; vulgo cum S. συνεῖναι. 18. οἷον ἦν ἄρα ἀγαθὸν μὴ ἀφίστασθαι] M. G. R. et A; vulgo desunt. — 22. ἑκάστοις] G; ἑκάστης M. — 22. οὐ] Curt; om. GV; μὴ M. Salv. — 25. γίνεται] Curt; γίνονται MG.

Καὶ εὔελπις δὲ τοῦ λοιποῦ ὁ βίος μηδαμῶς ἐνοχλήσειν ἡμᾶς τὰ τοιαῦτα, εἴπερ ἀγαθοῖς γενομένοις, κατὰ μὲν τὴν ἀκροτάτην ἀρετὴν τὰ θεῖα ἀγαθὰ ἡμῖν ἀπόκειται, κατὰ δὲ τὴν μέσην ἕξιν, τὰ ἀνθρώπινα. Ἔπειτα καὶ ἰάσονται κατὰ δύναμιν τὰ τοιαῦτα ἐξ αὐτοῦ τοῦ φέρειν πράως, τὰς μεθόδους τῆς θεραπείας αὐτῶν διδασκόμενοι. Πῶς γὰρ οἷόν τε ταῖς ἱεραῖς ἱκετείαις θεοπρεπῶς χρήσασθαι, μὴ πρόνοιαν καὶ δίκην ἐφορᾶν τὰ ἀνθρώπινα τιθεμένους, καὶ τὴν ψυχὴν ἡμῶν ἀθάνατον οὖσαν τοιούτων ἑκάστοτε τυγχάνειν τῶν ἔξωθεν, οἵων ἂν ἑαυτὴν ἀξίαν παράσχηται ἐκ τῶν προαιρετικῶν κινημάτων; Ὁ γὰρ μὴ εἰς ταῦτα ἀναφέρων τὴν παροῦσαν μοῖραν, πόθεν τοῦ πράως φέρειν αὐτὴν τὰς ἀφορμὰς λήψεται; πόθεν δὲ τοῦ ἰᾶσθαι τὴν τέχνην; οὐκ ἔστιν εἰπεῖν. Εὐαρεστῆσαι μὲν γὰρ αὐτόθεν τοῖς τοιούτοις οὐκ ἔστιν, ὡς ἀδιαφόροις, ἢ καὶ ἀμείνοσι τῶν ἐναντίων, ἐπειδὴ παρ' ἑαυτῶν φευκτὰ εἶναι φαίνεται, ἀλγεινὰ ὄντα καὶ ἐπίπονα. Τὰ δὲ τοιαῦτα οὐ προσίεται ἡμῶν ἡ φύσις, ὡς τὰ δι' ἑαυτὰ αἱρετά, εἰ μὴ ἄρα ἀγαθόν τι προσδοκώμενον εἴη ἐπὶ τῇ τληπα- pag. 96.
θείᾳ τῶν δυσχερῶν. Ἀνάγκη οὖν δυσχεραίνειν, καὶ δυσαρεστίας ἐμπίπλασθαι, καὶ προσεπιτείνειν τὰ ἀλγεινὰ ἐκ τῆς περὶ τὴν οὐσίαν ἡμῶν ἀγνοίας, καὶ οὐδὲν μὲν ἧττον διδόναι δίκας· τὴν μεγίστην δὲ ἐπικτᾶσθαι κακίαν, ἐὰν ἀπρονόητον τὸ πᾶν, ἢ κακῶς φροντιζόμενον, οἰηθῶμεν. Τοῦτο δὲ ταὐτόν ἐστι τῷ μὴ οἴεσθαι

1. καὶ εὔελπις δὲ] Ita plerique libri scripti; cod. Vat. Med. 1. 3 εὐέλπιστος δὲ omisso καὶ praebent; S. autem εὐέλπιστα δέ. — 2. γενομένοις] vulgo; γινομένοις S. — 2. κατὰ μὲν τὴν] Codd. G; vulgo κατὰ τὴν —. 3. Cod. Med. et S. om. verba τὰ θεῖα usque ad μέσην. — 8. τὴν ψυχὴν ἡμῶν ἀθάνατον οὖσαν] De hoc immortalitatis genere jam supra exposuimus p. 73. Holstenius pro ἀθάνατον conj. αὐθαίρετον male. — 9. οἵων ἂν] Corr. N; vulgo οἷον ἄν. — 9. ἀξίαν] G; om. M. — 10. παράσχηται] SVMh; παράσχοιτο MGC. — 11. πόθεν τοῦ — λήψεται] Corr. Cas; vulgo πόθεν που. Mendose G. λήψηται, quod N. et Ashton. in textum receperunt. — 14. ἢ καὶ ἀμείνοσι] GM; vulgo ἢ ἀμείνοσι. — 16. ὡς τὰ δι' ἑαυτὰ] Cod. Med. ὡς τὰ δι' αὑτὰ S; vulgo ὡς διὰ ταῦτα. N. dedit ὡς δι' αὑτά. Curterius jam ὡς δι' ἑαυτὰ conjecerat. — 22. τοῦτο δὲ ταὐτόν ἐστι τῷ μὴ οἴεσθαι εἶναι θεόν] Sic Cod. Med. In eandem sententiam Justinus Mart. in Apol. 1. Sect. 36 εἰ δέ τις ἀπιστεῖ μέλειν τούτων τῷ θεῷ, ἢ μὴ εἶναι αὐτὸν ὁμολογήσει, ἢ ὄντα χαίρειν τῇ κακίᾳ φήσει, ἢ λίθῳ ἐοικότα μένειν, καὶ μηδὲν εἶναι ἀρετὴν μηδὲ κακίαν, ἥπερ μεγίστη ἀσέβεια καὶ ἀδικία ἐστί. Vide Platonem de hoc argumento decimo

εἶναι θεόν, ἢ ὄντα μὴ προνοεῖν, ἢ προνοοῦντα μὴ ἀγαθὸν εἶναι, καὶ δίκαιον· ἃ δὴ τῆς παντοδαπῆς ἀσεβείας ἐστὶ συνεκτικώτατα, καὶ πρὸς πᾶσαν κακίαν συνωθοῦντα τὸν τοῖς τοιούτοις ἑαλωκότα δοξάσμασιν. Ὡς γὰρ ἡ εὐσέβεια μήτηρ τῶν ἀρετῶν ἀνεφάνη, οὕτω καὶ πάσης κακίας ἡγεμὼν ἡ τῆς εὐσεβείας ἀπόπτωσις. Μόνος οὖν ἐξευρήσει τούτων τὴν ἴασιν ὁ πράως αὐτὰ φέρειν ἐκδεδιδαγμένος. Τοῦτο δὲ διὰ φιλοσοφίας μόνης παραγίνεται, τὰς πάντων τῶν ὄντων οὐσίας ἀκριβῶς ἐπισταμένης, καὶ τὰς ἑπομένας ταῖς οὐσίαις αὐτῶν ἐνεργείας, ὧν εἱρμὸς καὶ σύνταξίς ἐστιν ἡ τῶν ὅλων διοίκησις, ἀφ' ἧς καὶ τὰς δαιμονίας τύχας ἀπονέμεσθαι ἀνάγκη· εἶναι δὲ τὴν ἑκάστῳ ἀπονεμηθεῖσαν ἀξίαν, τὴν νῦν λεγομένην μοῖραν, ἠρτημένην τῆς τε προνοίας τοῦ θεοῦ καὶ τῆς κοσμικῆς εὐταξίας καὶ τῆς ἀνθρωπίνης προαιρέσεως. Εἰ γὰρ μὴ εἴη θεοῦ πρόνοια, οὐκ ἂν εἴη τάξις ἐν κόσμῳ, ἣν καὶ εἱμαρμένην ἂν εἴποι τις. Εἰ δὲ μὴ ταῦτα εἴη, δίκη καὶ κρίσις τῶν κακῶν οὐκ ἂν γένοιτο· ἀλλ' οὐδὲ τιμὴ καὶ ἀποδοχὴ τῶν ἀγαθῶν. Προνοίας δὲ οὔσης καὶ τάξεως, πάντας ἔδει τοὺς νῦν γεννωμένους τῶν ἴσων ἀγαθῶν τυγχάνειν, εἰ μηδὲν παρ' ἑαυτῶν εἰς τὴν ἀνισότητα συνετέλεσαν. Φαίνονται δὲ οὐ τῶν ἴσων τυγχάνοντες. Δῆλον οὖν, ὡς τὸ τῆς προαιρέσεως ἄνισον, ὑποβληθὲν τῇ τῆς προνοίας κρίσει, οὐκ ἐᾷ τὴν
pag. 98. ἴσην αὐτοῖς ἀπονέμεσθαι μοῖραν, εἴγε τῶν πρὸς ἀξίαν ἀνάγκη τυγχάνειν. Μὴ ταραττέτω δὲ ἡμᾶς τὸ καὶ ἐπὶ ζῴων ἀλόγων, καὶ φυτῶν, καὶ αὐτῶν τῶν ἀψύχων τὴν αὐτὴν ἀνωμαλίαν ἐπιφαίνεσθαι, ἣν καὶ ἐπ' ἀνθρώπων. Οὐ γὰρ διὰ τοῦτο τὰ καθ' ἡμᾶς ἀπρονόητα, εἴγε ἐκείνοις ταῦτα, ὡς ἔτυχε, συμβαίνει, ἢ καὶ ἐπ' ἐκείνων δίκη καὶ κρίσις, καὶ ἀρετῆς καὶ κακίας ἐκλογι-

de legibus libro pag. 886 seqq. ed. Steph. copiosius disserentem et Simplicium ad Epicteti Enchir. cap. 38 ed. Salmas. Caeterum apud Hieroclem vulgo legunt τοῦτο δὲ ταὐτόν ἐστι τὸ, quod jam correxerat Needhamius. — 2. παντοδαπῆς] M; παντοδαποῦς G. — 2. ἀσεβείας] M; vulgo ἀδικίας. A: *omnis perfidiae.* — 2. ἐστὶ] MC; ἐστὶ τὰ G. S. Mh. — 2. συνεκτικώτατα] MGC; τὰ σ. S. Mh. — 7. ἐκδεδιδαγμένος] Corr. N; vulgo ἐκδιδαγμένος; δεδιδαγμένως GS. — 8. τὰς] Codd; τῆς conj. Holst. — 9. ταῖς οὐσίαις αὐτῶν] G; vulg. ταῖς οὐσίαις αὐταῖς. A: *ipsas essentias.* — 14. εἰ γὰρ μὴ εἴη] G; A: *nam si divina providentia non esset;* vulgo εἰ μὴ γὰρ —. — 19. φαίνονται] M; φαίνεται G. — 23. ἡμᾶς] M; ὑμᾶς G. — 23. ἐπὶ ζῴων] G; ἐπὶ τῶν ζώων Curt. — 26. εἴγε ἐκείνοις] G; εἴγε ἐπ' ἐκείνοις M; εἴ γε καὶ S.

σμοί, ἐπεὶ τὰ καθ' ἡμᾶς οὕτως ἠκρίβωται. Πρῶτον μὲν γὰρ τὰ ἄψυχα οὕτως ἔκκειται ὡς κοινὴ ὕλη φυτοῖς, καὶ ζῴοις, καὶ ἀνθρώποις· ἔπειτα τὰ φυτὰ ζῴοις καὶ ἀνθρώποις κοινὴ τροφὴ πρόκειται, καὶ ἔνια δὲ ζῴων ζῴοις τε καὶ ἀνθρώποις. Διὸ καὶ ποιεῖ ταῦτα εἰς ἄλληλα, οὐ τὴν τῶν πασχόντων ἀξίαν ἐπισκεπτόμενα, ἀλλὰ τὴν ἑαυτῶν πεῖναν ἢ τὴν νόσον θεραπεύοντα, καὶ ὅλως τὸ ἐνδεὲς αὐτῶν πληροῦντα, ὅθεν ἂν τοῦτο ποιεῖν ἐξῇ. Ὥστε δυστυχίας ἀφορμὴν εἶναι τοῖς ζῴοις τὴν ἡμετέραν χρείαν ἐκ τῶν παρατυχόντων πληρουμένην, καὶ τῆς δοκούσης εὐτυχίας αὐτοῖς αἴτιον τὸ παρ' ἡμῶν προςπαθές. Εἰ μὲν οὖν προϊὼν ὁ λόγος καὶ ἄλλους κρείττονας ἡμῶν τινας ἀντεισήγαγεν οὕτως ἀποχρωμένους ἡμῖν πρὸς πλήρωσιν τῆς ἑαυτῶν ἐνδείας, ὡς ἡμεῖς τοῖς ἀλόγοις φαινόμεθα χρώμενοι· θνητοὺς ἐκείνους ἔδει ὁμολογεῖν, καὶ φαίνεσθαι τὰ σώματα τῶν ἀνθρώπων εἰς τὴν ἐκείνων χρείαν ἀναλισκόμενα. Εἰ δὲ μηδὲν τῶν πρὸ ἀνθρώπου θνητόν, (ἐπειδὴ καὶ αὐτὸς ἔσχατος ὢν τῶν λογικῶν γενῶν, καὶ διὰ τοῦτο ἀθάνατος εἰς σῶμα θνητὸν ἐκ περιστάσεως ἔρχεται, καὶ συγγενές τι τοῖς ἀλόγοις ἀναλαβὼν ὄργανον ἐπὶ γῆς πολιτεύεται,) οὐδὲν ἂν εἴη τὸ ταῖς ἡμετέραις δυστυχίαις εἰς τὴν ἑαυτοῦ θοίνην ἀποχρησόμενον· οὐκοῦν οὐδὲ τὸ ἀτάκτως χρησόμενον ἡμῖν προθυμίᾳ πληρώσεως. Δίκη τοίνυν καὶ τάξις τοῖς πρὸ ἡμῶν ἀθανάτοις τοὺς ὅρους τῆς περὶ ἡμᾶς διοικήσεως νομοθετεῖ, pag. 100. ταῦτα μηχανᾶσθαι περὶ ἡμᾶς, ἃ τήν τε ἐνταῦθα κακίαν ἡμῶν ἐλαττοῖ, καὶ πρὸς αὐτοὺς ἐπιστρέφειν ἡμᾶς δύναται.

2. ἔκκειται] S; ἔγκειται MC; κεῖνται G. — 3. ἔπειτα — ἀνθρώποις om. S. — 3. καὶ ἀνθρώποις — ἔνια δὲ ζώων] M; vulg. καὶ ἀνθρώποις. Κοινὴ τροφὴ πρόκειται καὶ ἔνια ζῴων omissis pluribus verbis. — 4. δὲ] codd. reliqui; om. S. — 6. ἑαυτῶν] M; vulgo αὐτῶν; G. αὐτὴν; B. αὐτῶν. — 6. πεῖναν] GC; πείνην M. — 7. ἐνδεὲς] GC; ἀνενδεὲς M. — 9. τῆς] GC; om. MS. — 10. προςπαθές] codd. reliqui; προςπαθέσθαι S. — 11. ἀντεισήγαγεν] vulgata scriptura est, cujus loco cod. med. habet εἰςῆγεν, Vindobonensis autem εἰςήγαγεν. Quod Ashtonus conjecit τινας ἂν εἰςήγαγεν hic certe ferri non potest. — 13. φαινόμεθα] G. et A; vulgo φαινώμεθα. — 18. τοῖς] G; om. M. — 19. ταῖς ἡμετέραις δυστυχίαις] GC; τῆς ἡμετέρας δυςτυχίας M. — 20. ἀποχρησόμενον· οὐκοῦν οὐδὲ — χρησόμενον] G. et A; vulg. ἀποχρησάμενον· οὔκουν — χρησάμενον; ἀποχρῆσμενον· οὐκ οὖν — χρησόμενον S. — 21. τοῖς πρὸ ἡμῶν ἀθανάτοις] i. e. δαίμοσιν αἰθερίοις, quos ἐπιμελητὰς ἡμῶν appellavit. — 24. πρὸς αὐτοὺς ἐπιστρέφειν] Codd. recte; B. conj. πρὸς ἑαυτούς —. — 24. δύναται] Codd. reliqui; δύνανται S.

Κήδονται γὰρ ἡμῶν, ὡς συγγενῶν ἐκπεσόντων. Ὅθεν αἰδὼς καὶ νέμεσις καὶ αἰσχύνη ἀποτρέπουσαι τῶν κακῶν, ἀνθρώπους μόνους ἐπιστρέφεσθαι λέγονται ὀρθῶς. Τὸ γὰρ λογικὸν ζῶον μόνον συναισθάνεσθαι τῆς δίκης πέφυκε. Τοῖς μεγίστοις οὖν ὅροις διεστῶτας ἡμᾶς ἀπὸ τῶν ἀλόγων διεστώσῃ πάμπολυ καὶ τῇ διοικήσει χρῆσθαι προσήκει. Σύμμετρος γὰρ ταῖς οὐσίαις τῶν ὄντων καὶ ὁ τῆς προνοίας θεσμός· καὶ ὡς ἕκαστα ὑπέστη παρὰ τοῦ δημιουργοῦ θεοῦ, οὕτω καὶ προνοίας ἀξιοῦται. Φαίνεται δέ, ἐπὶ μὲν τῶν ἀνθρωπίνων ψυχῶν, ἑκάστην αὐτὸς ὑποστήσας· ἐπὶ δὲ τῶν ἀλόγων μόνα γένη, προτείνων τῇ διαπλαττούσῃ αὐτὰ φύσει, ὡς Πλάτωνι δοκεῖ, καὶ Τιμαίῳ τῷ Πυθαγορείῳ, οὐδὲν μὲν προςεχὲς τῶν θνητῶν δημιούργημα εἶναι τοῦ θεοῦ τιθεμένοις, τὰς δὲ ἀνθρωπίνας ψυχὰς γίνεσθαι ἐκ τοῦ αὐτοῦ κρατῆρος τοῖς τε ἐγκοσμίοις θεοῖς, καὶ τοῖς δαίμοσιν, ἢ τοῖς ἀγαυοῖς ἥρωσι· διὸ πρόνοια ἐπ' ἀνθρώπων ἐστὶ καθ' ἕνα ἕκαστον, πῶς ἀφίσταται τῶν ἐκεῖ· πῶς πρὸς τὰ τῇδε νεύει· πῶς ἐνταῦθα πολιτεύεται· πῶς ἂν ἐντεῦθεν ἀνακομισθείη ἐκεῖσε· ὧν οὐδὲν δεῖ περὶ τῆς ἀλόγου ζωῆς πραγματεύεσθαι.

2. ἀποτρέπουσαι] GC; ἀποτρέπουσα MS. — 3. Cod. Med. male hic post ἐπιστρέφεσθαι inserit καὶ πρὸς τὸ κακὸν ποιοῦσα ὀρθῶς λέγεται. — 3. λέγονται ὀρθῶς] Curt; λέγεται ὀ. G. — 3. γὰρ] Codd. reliqui; om. S. — 4. οὖν] G; om. M. — 7. ὄντων] Correxit Ashtonus pro vulg. ὅλων quod etiam in Vind. Cod. est. Nam locutio illa οὐσίαι τῶν ὅλων inepta minimeque a philosophis usurpata est, qui non de τῶν ὅλων i. e. τοῦ παντὸς οὐσίαις loquuntur, sed de partium ejus vel τῶν ὄντων οὐσίαις disputant demonstrantque, quo modo πάντα τὰ ὄντα ταῖς οὐσίαις speciatim distincta ad unum illud (τὸ πᾶν) referantur. Ac de hac quidem τῶν ὄντων secundum naturas distinctione loquitur hic Hierocles, dicens τὸ λογικὸν ζῶον ens esse φύσει distinctum ἀπὸ τῶν ἀλόγων atque idcirco diversam διοίκησιν desiderare, quia providentiae lex ταῖς οὐσίαις τῶν ὄντων congrua est. Adde quod hac re supra sic disseruit Hierocles: τὰς πάντων τῶν ὄντων οὐσίας ἀκριβῶς ἐπίστασθαι καὶ τὰς ἑπομένας ταῖς οὐσίαις αὐτῶν ἐνεργείας, ὧν εἱρμὸς καὶ σύνταξίς ἐστιν ἡ τῶν ὅλων διοίκησις. — 7. ὡς] Codd. et Curt; ὥς N. Asht. Gaisf. — 8. θεοῦ] G; om. S. — 9. δὲ] G; μὲν M. — 11. Πυθαγορείῳ] M; Πυθαγορίῳ GS. — 12. προσεχ. τ. θ.] GM; τ. θ. πρ. S. — 13. τιθεμένοις] MGC; τιθέμενοι S. — 13. γίνεσθαι ἐκ τοῦ αὐτοῦ κρατῆρος] MGC; ἐκ. τ. α. κ. γενέσθαι S. — 13. τοῦ αὐτοῦ κρατῆρος] Plat. Tim. p. 41. B. ταῦτ' εἶπε καὶ πάλιν ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγε, τὰ τῶν πρόσθεν ὑπόλοιπα κατεχεῖτο μίσγων, ubi vide Proclum p. 314 (p. 762 ed. Schneid.). — 14. ἢ] M. G; καὶ Curt. — 18. περὶ τῆς ἀλόγου ζωῆς] i. e. de animabus τῶν

Οὔτε γὰρ ἦλθεν ἀδυνατήσασα ἐπισπέσθαι θεῷ· οὔτε ἐπὶ γῆς δύναται πολιτεύεσθαι, ὡς φυτὸν οὖσα οὐράνιον· οὔτε πρός τι ξύννομον ἄστρον ἀνάγεσθαι πέφυκε. Καὶ ταῦτα μὲν πρὸς τὸ παρὸν ἀπολελογήσθω ἡμῖν πρὸς τοὺς δυσχεραντικούς, καὶ πανταχόθεν τὸ ἀπρονόητον κατασκευάζοντας· πρὸς οὓς καὶ ταῦτα εἰπεῖν δίκαιον, ὅτι ἐκ μὲν τοῦ πράως τὰ δυσχερῆ φέρειν ὁ ἀνθρώπινος τρόπος εὐλόγιστος ἀναφαίνεται, καὶ πρὸς τὸ παρὸν ἐπελαφρύνων τὰ δυσχερῆ, καὶ πρὸς τὸ μέλλον ἰώμενος. Ὑμεῖς pag. 102.
δὲ ἀγανακτοῦντες τί καὶ ὀνήσετε, εἰ μὴ μόνον προσθείητε τοῖς πόνοις τὸ μέγιστον τῶν κακῶν ἀσέβειαν, καὶ αὐτὰ δὲ τὰ χαλεπὰ τραχύτερα ἑαυτοῖς ἐξεργάσησθε τῷ παρὰ τὴν ἀξίαν πάσχειν αὐτὰ δοκεῖν; Ὁ γὰρ νοσῶν ἐὰν ἀγανακτῇ ὅτι νοσεῖ, δι' αὐτὸ τοῦτο μᾶλλον νοσήσει. Διὸ οὐδὲ χαλεπαίνειν δεῖ πρὸς τὴν ἀξίαν τῆς ἀποδόσεως γινομένης, ἵνα μὴ καὶ χειρόνων ἐν ἕξει γενώμεθα, διὰ τὴν ἐπὶ τοῖς παροῦσι βλάσφημον δυσφορίαν. Σκεψώμεθα δὲ αὐτὸ καὶ τῇδε· εἴ τις πενίαν λαβὼν πράως φέρει, πρὸς τῇ ἀπὸ τῆς πραότητος ἀλυπίᾳ, καὶ ἐξευρήσει τινὰ τοῦ βίου παραμυθίαν· τοῦτο μέν, τοῦ λογισμοῦ πόρον ἐξευρίσκοντος εὐλόγου διατροφῆς, τῷ μὴ συγκεχύσθαι τῇ λύπῃ· τοῦτο δέ, ἀγαμένων αὐτὸν τῶν πλησίον τῆς ἔμφρονος καρτερίας, καὶ συνεκποριζόντων, ὅση δύναμις, τὰ ἀναγκαῖα πρὸς τὸν βίον. Ὁ δὲ ἀγανακτῶν,

ἀλόγων ζώων. Quae sequuntur e Platonis Phaedro p. 248 depromta sunt. — 1. Οὔτε γὰρ ἦλθεν ἀδυνατήσασα ἐπισπέσθαι θεῷ] MG; vulgo male οὐδὲ γὰρ ἦλθεν ἀδυνατεύσασα ἐπισπεῦσθαι. — 2. ὡς φυτὸν οὖσα οὐράνιον] Plato in Timaeo pag. 90 ἡμᾶς αἴρει, ὡς ὄντας φυτὸν οὐράνιον, quae verba Palladae obversata fuerunt scribenti Anthol. I, 81

ἀλλ' ὁ Πλάτων σοι τῦφον ὀνειρώττων ἐνέφυσεν,
ἀθάνατόν σε λέγων καὶ φυτὸν οὐράνιον.

2. πρὸς] G; εἰς M. — 2. πρός τι ξύννομον ἄστρον ἀνάγεσθαι] Platonis verba sunt in Timaeo p. 42 in quae vide Proclum p. 319. — 4. πανταχόθεν] GC; πανταχοῦ M. — 6. ἐκ μὲν τοῦ πράως] SMG; ἐκ τοῦ πράως omisso μὲν Curt. — 7. ἀναφαίνεται] MGC; ἀναφένεται S. — 9. προσθείητε] MGC; προσθείηται S. — 10. πόνοις τὸ] GC; πόνοις πονηροῖς τὸ M. — 11. ἐξεργάσησθε — ὁ γὰρ νοσῶν ἐὰν ἀγανακτῇ] MG. et A: *difficiliores sibi faciunt. Nam qui aegrotat.* Vulgo ἐνεργάσησθε — οὐ γὰρ — ἀγανακτεῖ. — 13. οὐδὲ] GC; οὐ M. — 14. γινομένης] S; γενομένης reliqui. — 14. γενώμεθα] MGC; γενόμεθα S. — 16. φέρει] MGC; φέρῃ S. — 17. ἀπὸ] GC; om. M. — 17. τοῦ] MGC; om. S. — 19. τῷ μὴ συγκεχύσθαι] M. uti conjecerat Cas. Vulgo τὸ μὴ σ. — 19. ἀγαμένων] MGC ἀγομένων S. — 20. αὐτὸν τῶν πλησίον] G; αὐτῶν τῶν πλουσίων M.

καὶ γυναικείως πικραινόμενος, πρῶτον μὲν ἑκουσίας λύπας προςκτᾶται· ἔπειτα προςδεδεμένος τῷ τὴν πενίαν πενθεῖν, ἄπορος παντελῶς γίνεται, οὔτε παρ' ἑαυτοῦ τι σχολάζων εἰς πόρον συμβάλλεσθαι, οὔτε παρὰ τῶν πλησίον συντελούμενος, ὅσον μὴ ἐλέου χάριν αὐτῷ τις προςρίψειεν· ὃ πάλιν ἐκ τῆς διαθέσεως τοῦ διδόντος ἐπιτείνει τὴν λύπην τῷ εἰς τοῦτο χρείας καταστάντι. Ἐκ πάντων οὖν τῶν εἰρημένων πράως φέρειν δεῖ τὰ συμβαίνοντα, καὶ ὅση δύναμις ἰᾶσθαι δεῖ, ταῖς ἀδιαστρόφοις ἐννοίαις τὰς αἰτίας αὐτῶν ἐκλογιζομένους, καὶ συνορῶντας, ὅτι προνοίας οὔσης, οὐκ ἀμελεῖται ὁ ἀγαθὸς νῦν γενόμενος, κἂν παλαιῶν μηνιμάτων ἐφέλκηται στίγματα. Κατ' αὐτὸ γὰρ τὸ κτᾶσθαι τὴν ἀρετὴν καὶ τὸ ἐπίπονον αὐτῶν διαφεύγει, καὶ τὴν
pag. 104. ἴασιν ἐξευρίσκει, παρ' ἑαυτοῦ μὲν τὴν βοήθειαν τῆς ἀλυπίας εἰσφέρων, παρὰ δὲ τῆς προνοίας τὴν ἀπόλυσιν τῶν χαλεπῶν κομιζόμενος. Ἡ γὰρ ἡμετέρα κακία, καὶ κρίσις θεία τιμωρουμένη τὴν πονηρίαν, τὰ χαλεπὰ συνεφόρησεν· εἰκότως δὲ ταῦτα λύεται πάλιν ἀρετῇ τε ἡμετέρᾳ, καὶ νόμῳ προνοίας, ἀπολύοντι τῶν κακῶν τοὺς παρ' ἑαυτῶν πρὸς τὸ ἀγαθὸν ἐπιδεδωκότας. Τοσαῦτα ἂν λάβοιμεν καὶ ἐκ τούτων τῶν ἐπῶν δόγματα πρὸς ἀρετῆς στοιχείωσιν συντελοῦντα. Τοὺς γὰρ περὶ προνοίας, καὶ εἱμαρμένης, καὶ τοῦ ἐφ' ἡμῖν, ἀληθεστάτους λόγους περιέχοντα

1. πρῶτον] G; πρώτως M. — 1. ἑκουσίας λύπας] Cod. Med; vulgo cum S. ἑκουσίως. Alibi Hierocles ἑκουσία πενία et ἀκουσίας λύπας dicit. — 1. προςκτᾶται] G; προςκτᾶσθαι M. — 2. πενθεῖν] G; παθεῖν M. — 3. συμβάλλεσθαι] G; συμβαλέσθαι MS. — 4. τῶν] MGC; τὸν S. — 8. ἀδιαστρόφοις] Ipl. G. et M; vulgo διαστρόφοις. — 10. γενόμενος] Cod. Med; vulgo γινόμενος cum S. — 11. παλαιῶν μηνιμάτων] nimirum τῶν ἐκ τῆς προβιοτῆς, quae ab Hierocle lib. de providentia dicuntur παλαιῶν ἁμαρτημάτων ἀμοιβαί ap. Phot. Cod. 251. Plato in Phaedro p. 244 ἀλλὰ μὴν νόσων γε καὶ πόνων τῶν μεγίστων, ἅτε παλαιῶν ἐκ μηνιμάτων ποθὲν ἔν τισι τῶν γενῶν ἡ μανία ἐγγενομένη καὶ προφητεύσασα οἷς ἔδει ἀπαλλαγὴν εὕρετο κ. τ. λ. Jamblichus de Myst. Sect. 4 cap. 4 τιμωρίαν ἐπάγουσι στοχαζόμενοι τῶν ἐν προτέροις βίοις ἁμαρτημάτων. — 11. τὸ κτᾶσθαι] Ipl. G, et Aurispa qui vertit: *in acquirendo virtutes*. Vulgo τὸ om. — 12. αὐτῶν] GC; αὐτῆς M. — 12. διαφεύγει] Curt; φέρει G, sed in margine φεύγει. — 13. τὴν] G; τῆς M; om. Curt. — 15. ἡ] G; τῇ MS. — 17. ἀπολύοντι — ἀγαθὸν] G; ἀπολύοντι μετανοίας τὰ κακὰ τὸ ὑπὲρ ἑαυτῶν πρὸς τὸ ἀγαθὸν M. — 18. τοὺς παρ'] MGC; τὸ ὑπὲρ S. — 18. ἐπιδεδωκότας] MC; ἐπιδεδοκότας G. — 20. συντελοῦντα] MGC; τελοῦντα S.

ἀναπέφηνε, δι' ὧν τὸ τῆς τῶν φαινομένων ἀνωμαλίας δύσκολον ἀπηύθυνεν ὁ λόγος, καὶ διὰ πάντων ἀπέδειξε τῶν κακῶν ἀναίτιον τὸν θεόν. Εἰ δέ τις ταῦτα τοῖς προτέροις ἐπισυνάψειεν, εἷς ἐκ πάντων ἀναφανήσεται λόγος, τὴν τῆς ψυχῆς ἀϊδιότητα βεβαιούμενος. Τὸ γὰρ δικαιοσύνην ἀσκεῖν, καὶ γενναίως ἀποθνήσκειν, καὶ περὶ τὰ χρήματα ἐλευθερίως διακεῖσθαι, τοῦ μὴ συναποθνήσκειν τῷ σώματι τὴν ψυχὴν μάλιστα χρῄζει πρὸς κατασκευήν, ὡς ἤδη εἴρηται. Τὸ δὲ τὰς δαιμονίας τύχας πράως φέρειν, καὶ ἰᾶσθαι δύνασθαι, τοῦ μὴ συγγεννᾶσθαι τῷ σώματι τὴν ψυχὴν νῦν ἐφάνη δεόμενον· ἐκ δὲ ἀμφοτέρων τὸ γενέσεως καὶ φθορᾶς κρείττονα εἶναι τὴν ψυχὴν ἀποδείκνυται, καὶ ἑτέραν οὐσίαν παρὰ τὸ θνητὸν σῶμα, αὐτὴν καθ' ἑαυτὴν οὖσαν ἀΐδιον. Οὐ γάρ οἷόν τέ ἐστιν ἀπό τινος χρόνου προελθόν τι εἰς γένεσιν εἰς ἀεὶ διαμένειν, ὥσπερ οὐδὲ τὸ ἐξ ἀϊδίου τὴν ὑπόστασιν ἔχον ποτὲ φθορὰν ἀναδέξασθαι. Εἴπερ οὖν μετὰ τὴν τοῦ σώματος φθορὰν ἡ ἀνθρωπίνη ψυχὴ διαμένουσα δίκης καὶ κρίσεως τυγχάνει, καὶ τῶν ἐπιτηδευθέντων ἐν τῷ βίῳ τὰς πρὸς ἀξίαν ἀμοιβὰς ἀποδέχεται, οὐχ οἷόν τε δὲ εἰς ἀεὶ διαμένειν τὸ ἀπὸ χρόνου γενόμενον· δῆλον, ὡς καὶ πρὸ

2. ἀπηύθυνεν] S; ἀπεύθυνεν reliq. — 4. ψυχῆς ἀϊδιότητα] i. e. προβιοτὴν καὶ ἀθανασίαν. Utramque docuit Pythagoras. Vid. Jamblichi, vit. Pythag. p. 24 ed. Kust. Caeterum S. male ψυχῆς ἰδιότητα. — 6. καὶ περὶ usque ad συναποθν. τῷ desunt in Cod. M. et S. — 6. τοῦ μὴ συναποθνήσκειν — μάλιστα χρῄζει] Corr. N; vulgo τῷ μὴ σ. — 10. δεόμενον] Ita recte codd; edit. Lond. typothetae errore θεόμενον, quod Needh. omnino editionibus prioribus tribuit, quum in Curteriana (Paris 1583) mendum hoc non reperiatur. Quod autem praecedit ἐφάνει pro ἐφάνη item typographorum erratum est. — 12. Inter θνητὸν et σῶμα M. inserit ἡμῶν εἶναι, quod omitti potest. — 13. ἑαυτὴν] MGC; αὐτὴν S. — 13. οὐ γὰρ οἷόν τέ ἐστιν ἀπό τινος χρόνου προελθόν τι — εἰς ἀεὶ διαμένειν] Ita et Plato aliique philosophi disserunt, nisi quod arbitrantur ea quae orta sunt deo tamen volente in aeternum durare posse; id quod de diis generatis ipse in Timaeo affirmat p. 41 δι' ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔ τι μὲν δὴ λυθήσεσθέ γε οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων οἷς ὅτ' ἐγίγνεσθε ξυνεδεῖσθε. Quod reliquum est in verbis Hierocleis Codd. G. et A. recte disjungunt προελθόν τι; vulgo male προελθόντι. Mediceus τι προελθόν praebet. — 13. τέ ἐστιν] MGC; τέ τι S. — 15. ἀναδέξασθαι] MG; ἀναδέχεσθαι C. — 17. ἐπιτηδευθέντων] MGC; ἐπιτηδευμάτων VMh. — 18. ἀποδέχεται GC; ἐπιδέχεται M. — 19. τὸ ἀπὸ] MGC; τὸ δὲ ἀπὸ S. — 19. γενόμενον] MGC; γεννώμενον Holstenius e codice, cujus nota deest.

pag. 106. τούτου ἦν τὸν ἅπαντα χρόνον. Καὶ οὕτω τῶν ἀϊδίων γεννημάτων τοῦ δημιουργοῦ θεοῦ καὶ ἡ ἀνθρωπίνη ψυχὴ ἀνευρίσκεται, ὅθεν αὐτῇ καὶ τῆς θείας ὁμοιώσεως μέτεστιν. Ἐπεὶ δὲ καὶ τοῦτο μετρίας ὑπομνήσεως ἔτυχε, καιρὸς ἂν εἴη καὶ τὰ λοιπὰ ἐπισκέψασθαι.

XII. 21—24.

Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ
προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἄρ' ἐάσῃς
εἴργεσθαι σαυτόν· ψεῦδος δ' ἤνπερ τι λέγηται,
πράως εἶκε.

Ἡ ἀνθρωπίνη προαίρεσις μήτ' ἐν ἀρετῇ ἀεὶ ἑστῶσα, μήτ' ἐν κακίᾳ, καὶ τοὺς διὰ φωνῆς προϊόντας λόγους ἐπαμφοτερίζοντας ἀπεγέννησεν, ὡς ἐοικότας ταῖς ἐναντίαις αὐτῆς διαθέσεσι. Διὸ τῶν λόγων ἐγένοντο οἱ μὲν ἀληθεῖς, οἱ δὲ ψευδεῖς, οἱ δὲ ἀγαθοί, οἱ δὲ κακοί. Ἡ δὲ διαφορὰ αὕτη ἐπιστημονικῆς δεῖται διακρίσεως, ὅπως τοὺς μὲν ἀμείνονας ἐκλεξώμεθα, τοὺς δὲ χείρους ἀποβάλωμεν, καὶ μήτε μισολογίαν νοσήσωμεν παντελῆ, διὰ τὴν τῶν χειρόνων λόγων κατάγνωσιν, μήτε ἀδιακρίτως πάντας εἰσδεξώμεθα, διὰ τὴν τῶν ἀμεινόνων ἀποδοχήν. Ἕπεται γὰρ τῇ μὲν μισολογίᾳ τὸ καὶ τῶν ἀγαθῶν λόγων ἑαυτοὺς ἀποστερεῖν, τῇ δὲ ἀκρίτῳ φιλολογίᾳ, τὸ λανθάνειν βλαπτο-

1. γεννημάτων] Cod. Med. et S; vulgo δημιουργημάτων. Sed illud praestat. Sic Hierocles ap. Phot. Cod. 251 τὸ πρῶτον τῶν τοῦ δημιουργοῦ γεννημάτων. Proclus in Plat. Tim. p. 116 πᾶσα ψυχὴ γέννημά ἐστι τοῦ θεοῦ. — 2. τοῦ δημιουργοῦ θεοῦ] GM. et A; vulgo θεοῦ om. — 3. καὶ] MGC; om. S. — 7. δειλοί] MGC; δηλοὶ S. — 9. λέγηται] MG. et A. Cf. infra p. 108; vulg. λέγῃ τε. — 10. πράως εἶκε] Codd. N. ut p. 108; ab aliis πράως ἴσχ' legi testatur Curter. in margine. Vid. supra ad Carm. aur. vs. 24. — 14. οἱ μὲν ἀληθεῖς, οἱ δὲ ἀγαθοί, οἱ δὲ κακοί] Cod. Med; vulgo verba οἱ δὲ ψευδεῖς ultimo loco post κακοί inepte collocantur. Idem verborum ordo in Codice Vindobonensi est, qui praeterea ἡ μὲν ἀληθεῖς habet. Holstenius pro οἱ δὲ ἀγαθοὶ conj. ἤτοι vel εἴτε. — 15. διαφορὰ αὕτη] M. et A: *quae quidem differentia*; vulg. διαφορὰ αὐτή. — 17. χείρους] G; χείρονος M. — 17. ἀποβάλωμεν] G; vulgo ἀποβαλῶμεν; Med. ἀποβάλλωμεν. — 17. νοσήσωμεν] GC; νοήσωμεν M; νομίσωμεν Vat. — 19. πάντας] MGC; om. S. — 19. εἰσδεξώμεθα] G; δεξώμεθα M. — 21. βλαπτομένους] Corr. B. ut responderet τῷ ἑαυτοὺς — A: *occulte a mendacibus offendentur*. Vulgo βλαπτόμενον cum Codice Vindobonensi.

μένους ὑπὸ τῶν κεκακουργημένων λόγων. Φιλολογίαν οὖν ἀσκήσωμεν μετὰ κρίσεως τῆς ἀρίστης, ἵνα ἡ φιληκοΐα πᾶν ἕλκῃ τὸ γένος τῶν λόγων, ἡ δὲ κρίσις ἀπωθῆται τὸν χείρονα. Καὶ οὕτω τὸ Πυθαγορικὸν τηρήσομεν παράγγελμα, μήτε ἐκπληττόμενοι τοὺς πονηροὺς τῶν λόγων, καὶ δι' αὐτὸ τοῦτο, ὅτι λόγοι pag. 108. εἰσίν, ἀκρίτως αὐτοὺς εἰςδεχόμενοι· μήτε τῶν ἀγαθῶν εἰργόμενοι, διότι λόγοι ἦσαν ὁμοίως τοῖς χείροσι. Πρῶτον μὲν γὰρ οὐχί, ᾗ λόγοι, μεταδιώκοιντο, ἀλλ' ᾗ ἀληθεῖς· οὔθ' οἱ ἕτεροι καταγινώσκοιντο, ὡς λόγοι, ἀλλ' ὡς ψευδεῖς. Ἔπειτα κἀκεῖνο εὐθαρσῶς ἂν εἴποιμεν, ὡς μόνοι λόγοι εἰσὶν οἱ ἀληθεῖς. Μόνοι γὰρ τῆς λογικῆς οὐσίας τὸ ἀξίωμα τηροῦσι, καί εἰσι γεννήματα ψυχῆς πρὸς τὸ ἄριστον ἀνατεταμένης, καὶ τὸν οἰκεῖον κόσμον κεκτημένης· οἱ δὲ ψευδεῖς τῶν λόγων οὐδὲ λόγοι ὄντως εἰσί, πρὸς γὰρ κακίαν καὶ ψευδοδοξίαν φέροντες, καὶ τὴν εὐγένειαν τῶν λόγων ἠρνήσαντο, καί εἰσιν ἠλογημένης ψυχῆς

1. οὖν] MS; γοῦν GC. — 2. κρίσεως τῆς ἀρίστης] GM; κρίσεως ἀρίστης Curt. — 2. ἡ φιληκοΐα πᾶν ἕλκῃ τὸ γένος] Ita Curterius in margine. Petitam esse hanc scripturam e codicibus ex eo concludi licet, quod Aurispa, qui Codicem Venetum latine vertit, haec verba sic interpretatur: „ut audiendi voluntas omne sermonum genus capiat.“ Ashtonus existimat Aurispam in Veneto exemplari scriptum offendisse ἕλοιτο pro ἕλκῃ τὸ, quod vereor ut possit probari. N. putat eum ἕλῃ legisse. Vulgata lectio est ἡ μὲν φιλία ἕλκῃ τὸ γένος. — 6. ἀκρίτως] MG; vulgo ἀκρίτους. — 6. εἰςδεχόμενοι] GC; δέχομενοι M. — 6. μήτε] Cod. Med. et S; vulgo οὔτε. — 8. οὐχί, ᾗ λόγοι, — οὔθ' οἱ ἕτεροι] Ashtonus pro οὐχὶ [οὐχ S. οὐχ οἱ Vat. Mh, qui et mox οἱ pro ᾗ] legendum esse opinabatur οὔθ' οὗτοι i. e. οἱ ἀγαθοὶ de quibus proxime locutus est, cui respondet οὔθ' οἱ ἕτεροι i. e. οἱ πονηροί. Quae sequuntur μεταδιώκοιντο — καταγινώσκοιντο petita sunt e Codd. G. et M. Nam μεταδιώκοιντο et κατεγινώσκοντο habent Codd. G., μεταδιώκοντο et καταγινώσκοιντο M. Est praeterea in Cod. Vind. καταγινώσκοντο. Vulgo μεταδιώκειντο — καταγινώσκοντο. — 8. οἱ] GC; ᾗ M. — 9. ὡς ψ. G; ᾗ M. — 10. εἴποιμεν, ὡς μόνοι λόγοι] Codd. Gall; εἴποιμεν jam exstabat in Curterii ed. Parisiensi, εἴπομεν typographorum erratum est in editione Londinensi, quam solam consuluit Needhamius, qui se veram lectionem e codd. Gall. et Aurispa restituisse dicit. Ac de εἴποιμεν quidem nulla controversia est, μόνοι autem quod in libris Gall. legitur non agnoscit Aurispa qui vertit ***solum*** i. e. μόνον quod vulgo legebatur. Verba ejus sunt: ***audacter dicere possumus eos esse solum sermones, qui veri sunt.*** — 11. γὰρ] Curt; δὲ G. sed Ipl. γὰρ superposuit. — 12. ἀνατεταμένης] G. et A: ex animo ad optimum intendente. Vulgo ἀνατεταγμένης. — 15. ἠλογημένης] M; ἠλογισμένης G, sed superscriptum ἠλογημένης.

καὶ πάθεσι συμπεφυρμένης φωναί. Μήτε οὖν πάντας καταδέχου, φησίν, ἵνα μὴ καὶ τοὺς ψευδεῖς· μήτε πάντας ἀπόβαλλε, ἵνα μὴ καὶ τοὺς ἀληθεῖς. Ἑκάτερον γὰρ ἄτοπον, τούς τε ἀγαθοὺς μισῆσαι σὺν τοῖς χείροσι, καὶ τοὺς ψευδεῖς προσίεσθαι διὰ τοὺς ἀμείνους. Δεῖ δὴ τοὺς μὲν ἀγαθοὺς ἐπαινεῖν, καὶ εἰςδεξάμενον αὐτοὺς ἀσκεῖσθαι, καὶ ζητεῖν ὅπῃ καὶ ἐφ' ὅσον τῆς ἀληθείας ἐφάπτονται, πρὸς δὲ τοὺς ψευδεῖς τὴν ἀγωνιστικὴν δύναμιν κτήσασθαι, αὕτη δ' ἂν εἴη ἡ χορηγουμένη ἐκ τῆς λογικῆς ἐπιστήμης εἰς διάκρισιν ἀληθείας καὶ ψεύδους· δυναμένους δὲ καὶ ἀνατρέπειν τὰ ψεύδη, μήτε σφοδρῶς, μήτε ὑβριστικῶς τοῦτο ποιεῖν· ἀλλὰ σὺν πραότητι τὴν ἀλήθειαν διώκειν, καὶ μετὰ εὐμενῶν ἐλέγχων τὸ ψεῦδος ἀνατρέπειν, καὶ ὡς αὐτό φησι τὸ ἔπος, ψεῦδος δ' ἤνπερ τι λέγηται, πράως εἴκοντας, οὐ συγχωροῦντας οὕτως ἔχειν, ὡς λέγεται, ἀλλὰ ἀοργήτως ἀκούοντας. Οὐ γὰρ συγκατατίθεσθαι δεῖν λέγει τῷ ψεύδει τὸ
pag. 110. πράως εἶκε, ἀλλ' ἀνεκτικῶς ἀκροᾶσθαι, καὶ μὴ ἐκπλήττεσθαι, εἰ ἄνθρωποι ὄντες τινὲς τῆς ἀληθείας ἀποπεπτώκασιν ἀλυσιτελῶς. Γόνιμος γὰρ ἡ ἀνθρώπου φύσις πολλῶν διαστρόφων δοξασμάτων, ὅταν μὴ ταῖς κοιναῖς ἐννοίαις ὀρθῶς ἕπηται. Οὐδὲν οὖν, φησὶν ὁ λόγος, θαυμαστόν, εἰ ἄνθρωπος μηδὲν τῶν ἀληθῶν μήτε μαθών, μήτε εὑρών, εἰς τοῦτο τῆς ἀπονοίας ἦλθε, καὶ ἔθετο

1. φωναί] G; ψυχαί M. — 2. ἀπόβαλλε] S; ἀπόβαλε vulgo. — 3. ἀγαθοὺς] G; ἀγαθοὺς ἐπίσης MS. — 4. σὺν] Curt; om. MS. et G. — 5. δὴ] G; δὲ Curt. — 5. εἰςδεξάμενον] M; εἰςδεξάμενοι G. — 8. ἡ] GC; om. M. — 9. ἀληθείας καὶ ψεύδους· δυναμένους δὲ καὶ ἀνατρέπειν] G. et A: *veritatem a mendacio recte discernunt: et qui mendaces sermones.* Vulgo ἀληθείας. δυναμένους δὲ ἀνατρέπειν. Cod. Med. habet ἀληθείας καὶ ψεύδους δυναμένης. — 9. καὶ] MGC; om. S. — 10. μήτε — μήτε] G; μηδὲ — μηδὲ M. — 12. τὸ ἔπος, ψεῦδος δ' ἤνπερ τι λέγηται, πράως εἴκοντας] Sic Ashtonus ex ipso versu verborum ordinem restituit qui in edd. prioribus turbatus erat. Scribebatur enim cum Cod. Vindobonensi ubi tamen εἴκοντα legitur ἔπος, πράως εἴκοντας, ψεῦδος δὲ ἣν κ. τ. λ. Similiter inversa sunt in edd. Paris. et Lond. versus quarti decimi verba in Hieroclis Comment. ἀλογίστως ἔχειν σαυτὸν pro ἀλογίστως σαυτὸν ἔχειν, uti bene restituit Needhamius. — 17. ἀλυσιτελῶς] i. e. mentiendi tantum gratia, ita ut nullum inde in mentientem redundet emolumentum. Deest haec vox in cod. Med. 1. et 2. item in Vindobonensi. — 18. γόνιμος] Cod. Med. 1. et 2. φρόνιμος S. V; vulgo φόριμος. — 18. ἀνθρώπου] S; vulgo ἀνθρώπων. — 21. ἀπονοίας] Corr. N; vulgo ὑπονοίας cum S.

δόξας ὑπεναντίας τῇ ἀληθείᾳ. Τοὐναντίον γὰρ ἂν ἦν θαυμαστόν, εἰ μήτε μανθάνειν μήτε ζητεῖν ἐθέλων τις, αὐτομάτως τῇ ἀληθείᾳ περίετυχεν, ὥσπερ ἐκ τραγῳδίας θεῷ τινι ἀναφανέντι. Δεῖ οὖν συγγνωμονικῶς ἀκούειν τῶν ψευδομένων, καὶ πείρᾳ μανθάνειν οἵων ἡμεῖς ἐκαθάρθημεν κακῶν, τῇ μὲν κοινωνίᾳ τοῦ συγγενοῦς ὑποκείμενοι τοῖς αὐτοῖς πάθεσι, τῷ δὲ ἀλεξικάκῳ τῆς ἐπιστήμης ἐξ ἐναντίας αὐτῶν γενόμενοι. Μέγα δὲ συντελεῖ πρὸς πραότητα καὶ τὸ τῆς ἐπιστήμης θάρσος· ἡ γὰρ ἱκανῶς παρεσκευασμένη ψυχὴ πρὸς τὸ καταγωνίσασθαι τὰς ἐκτροπὰς τῆς ἀληθείας ἀθορύβως οἴσει τὰς ψευδεῖς δόξας, ὡς προεκλελογισμένη πάντα τὰ παρὰ τὸ ἀληθὲς ἐν αὐτῇ τῇ τοῦ ἀληθοῦς κατανοήσει. Τί οὖν ταράξει τοῦτον ὡς ἄλυτον ὄν; τί δὲ ἰσχυροῦ φαντασίαν παρέξει τούτῳ, ὃς προκατηγώνισται πᾶν τὸ ψεῦδος; Οὐ μόνον οὖν ἐκ τῆς ἠθικῆς ἀρετῆς τὴν ἀταραξίαν ἕξει ὁ ἐπιστήμων, ἀλλὰ καὶ ἐκ τοῦ θαρσεῖν τοὺς τοιούτους ἀγῶνας. Ταῦτα μὲν περὶ τῆς ἐπιστημονικῆς τῶν λόγων διακρίσεως. Περὶ δὲ τῆς διὰ πάντων ἀνεξαπατήτου ἕξεως, ἣν δεῖ κεκτῆσθαι τὸν ἐπιστήμονα, εὐθὺς ἐπισυνάπτει.

1. γὰρ ἂν ἦν] S; vulgo γὰρ ἦν. — 2. εἰ μήτε μανθάνειν μήτε ζητεῖν ἐθέλων τις] Libri Gall. nisi quod in uno est καὶ pro εἰ; vulgo εἰ μήτε μανθάνων μήτε ζητῶν ἐλθὼν αὐτομάτως quod exprimit A: ***neque inquisierit, adveniens casu et fortuna.*** Cod. Med. exhibet εἰ μήτε μανθάνειν μήτε ζητεῖν ἐθέλῃ τις. — 3. ἀναφανέντι] Cod. Med. et libri Gall; vulgo παραφανέντι cum S. — 5. μὲν] G; om. M. — 6. συγγενοῦς] G; γενοῦς S; συγγένους M. — 7. ἀλεξικάκῳ] GC; ἀνεξικάκῳ M. — 9. παρεσκευασμένη] Corr. N; A: ***bene institutus animus;*** vulg. παρασκευασαμένη. — 11. παρὰ] GC; περὶ M. — 11. αὐτῇ τῇ τοῦ ἀληθοῦς] G; vulgo αὐτῇ τοῦ ἀληθοῦς. — 12. τοῦτον] GC; τούτων M. — 12. ὡς ἄλυτον ὄν; τί δὲ ἰσχυροῦ φαντασίαν παρέξει τούτῳ] G; vulgo ὡς ἄλυτον; ὄντι δὲ ἰσχυρῷ — τούτῳ, ἢ. — 13. ὃς προκατηγώνισται πᾶν τὸ ψεῦδος] Cod. Med. e coll. Salvini ap. Dacer. optima sententia ***qui prius expugnaverit.*** Imperite Needhamius pro ὃς scribi voluit ᾧ ut est in libris Gall. et in Cod. anonym. ap. Holst. Caeterum universa sententia in Med. Cod. sic exhibetur: τίνος δὲ ἰσχυροῦ φαντασία ταράξει τοῦτον ὃς κ. τ. λ. At Aurispa interpretans ***opinionem subministrabit*** cum Codd. G. consentit. — 14. οὖν] Codd. et edd; οὐκ male Gaisf. — 14. ἀταραξίαν ἕξει] GC; εὐταξίαν ἔχει M; ἀταξίαν ἕξει S. — 16. ἐπιστημονικῆς τῶν λόγων] S; τῶν λόγων ἐπιστημονικῆς vulgo. — 17. τῆς διὰ πάντων] M; Ipl. G. τῆς δι' ἁπάντων. Vulgo τῆς ἁπάντων. — 18. ἐπισυνάπτει] vulgo; ἐπιτάττει Cod. aliquis ap. Holst.

— Ὃ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω·
μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ,
pag. 112. πρῆξαι, μηδ' εἰπεῖν, ὅ, τι τοι μὴ βέλτερόν ἐστι.

Τοῦτο διὰ πάντων τείνει τὸ παράγγελμα, ἰσοδυναμοῦν τῷ ἄνω που εἰρημένῳ,

Πρήξεις δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
Μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.

Ὁ γὰρ ἑαυτὸν αἰδεῖσθαι μεμαθηκώς, καὶ μήτε ἐν μονώσει, μήτε ἐν κοινωνίᾳ, τὴν τοῦ αἰσχροῦ πρᾶξιν ἀνεχόμενος, ἀλλὰ καὶ τὴν φαντασίαν αὐτὴν τοῦ τοιούτου παραιτούμενος διὰ τὸν εἴσω φύλακα λόγον, οὗτός ἐστιν ὁ δυνάμενος νῦν ἀκούειν, μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ. Μόνος γὰρ ἀνεξαπάτητος, καὶ ὑπ' οὐδενὸς οὐδαμῶς εὐπαραλόγιστος, ὁ τὴν ἀξίαν ἑαυτοῦ γνοὺς ἄνθρωπος, καὶ οὔτε κολακείαις θωπευόμενος, οὔτε τοῖς ἐκδειμαίνουσι ταπεινούμενος, κἂν πολέμιοι ἢ φίλοι ὁποτεραοῦν τούτων προτείνωσιν. Ἐν γὰρ τῷ μηδεὶς πᾶν πρόσωπον κεῖται, καὶ πατήρ, καὶ τύραννος, καὶ φίλος, καὶ ἐχθρός. Οἱ δὲ τρόποι τῆς παραγωγῆς ἢ διὰ λόγων ἢ ἔργων γίνονται· λόγων μέν, θωπευόντων ἢ ἀπειλούντων, ἔργων δέ, δωρεὰς ἢ τιμωρίας προτεινόντων. Πρὸς πάντα δὴ ταῦτα τετειχισμένην δεῖ τὴν ψυχὴν ἔχειν τῷ ὀρθῷ λόγῳ, πρὸς τὸ ἀμείλικτον καὶ ἀδούλωτον ὑπὸ τῶν ὁπωσοῦν ἔξωθεν προσπιπτόντων ἡμῖν ἡδέων τε καὶ λυπηρῶν. Ὁ γὰρ ὀρθὸς ἐνυπάρχων λόγος, σωφροσύνην καὶ ἀνδρείαν ἑκατέρωθεν παραστήσας τῇ ψυχῇ τοὺς ἀδαμαντίνους φύλακας, ἀνεξαπατήτους ἡμᾶς διατηρήσει καὶ ἀπὸ τῆς τῶν προσηνῶν θωπείας, καὶ ἀπὸ τῆς τῶν φοβερῶν κα-

4. τοι] M; om. G. — 6. εἰρημένῳ] G; εἰρημένου M. — 8. μάλιστ'] G; μᾶλλον M. — 9. ἑαυτὸν] M. G; vulgo ἑαυτοῦ. — 15. γνοὺς] G; ἐπιγνοὺς M. — 15. κολακείαις] M; κολακίαις G. — 17. ὁποτεραοῦν] Curt; ὁπότερά οὖν G; ὁπότερα ἂν M. — 17. προτείνωσιν] Corr. N. ut praegresso κἂν responderet. A: quaecunque horum proponant. Vulgo προτείνουσιν. Cod. Med. προστείνωσιν. — 20. λόγων] S. M. 2; λόγον M; λόγῳ G. — 20. ἔργων] S. M. 2; ἔργον M; ἔργῳ G. — 23. ὑπὸ τῶν ὁπωσοῦν] G; vulg. ὑπὸ τοῦ ὁπωσοῦν; Cod. Med. ἀπὸ τῶν ὁπωσοῦν. — 24. ὀρθὸς] MGC; ὀρθῶς S. — 27. θωπείας] M. 1. et 2 G. C; quod minime sollicitandum. Spectat enim scriptor Plat. de leg. lib. I pag. 633. D. ed Steph; θεραπείας M. 3 et Vat; θεραπείας ἢ θωπείας Salv. utroque vocabulo nepte juncto. — 27. τῆς τῶν] G; τῆς omisso τῶν Curt; τῶν omisso τῆς M.

ταπλήξεως· οἷς ἐπιγίνεται δικαιοσύνη ἀκριβής, ἣν παρήγγειλεν pag. 114.
ἄνω που ἀσκεῖν ἔργῳ τε λόγῳ τε. Οὕτω μὲν οὖν οὐδεὶς οὐδαμῶς ἡμᾶς ἀναπείσει ἢ λόγον προέσθαι, ἢ ἔργον διαπράξασθαι, ὃ μὴ τῷ ὀρθῷ λόγῳ ἐστὶ σύμφωνον. Εἰ γὰρ πάντων μάλιστ' αἰσχυνοίμεθ' ἑαυτούς, δῆλον ὡς οὐδεὶς ἡμῖν αἰδεσιμώτερος ἡμῶν αὐτῶν φανήσεται, οὐδὲ φοβερώτερος, ὡς προκαλέσασθαι παρὰ τὸ δέον εἰπεῖν τι ἢ πρᾶξαι. Ἐπιβλαβὲς γὰρ τῇ ψυχῇ ἑκάτερον. Τὸ δὲ ἐκείνῃ βλαβερόν, τοῦτο καὶ ἡμῖν ἀσύμφορον· ἐπείπερ ἡμεῖς ἡ ψυχή. Ἀκριβῶς οὖν ἀκουστέον τοῦ ὅ, τι τοι μὴ βέλτερόν ἐστι· κατ' ἐκείνου φέροντας τὴν ἀντωνυμίαν τοι, ὃ κυρίως σὺ εἶ. Ἐὰν οὖν τὸ λεγόμενον, μηδεὶς μήτε δι' ἔργων, μήτε διὰ λόγων, παραγάγῃ σέ τι ποιῆσαι ἢ εἰπεῖν, ὅ, τι μὴ συμφέρον ἐστί σοι· σὺ δὲ ἦσθα ἡ λογικὴ ψυχή· οὐκ ἀνέξῃ, ἐὰν εὖ φρονῇς, τοῦ παραβλά-

3. διαπράξασθαι] vulgo; πράξασθαι S. — 4. σύμφωνον] M. et Ipl. G in margine, ubi scriptum erat σύμφορον. — 6. ἡμῶν αὐτῶν] G; om. M. — 7. εἰπεῖν τι] Needhamius a Bentlejo admonitus addidit τι quod sententia flagitat. Sic supra Comm. in vers. 2 τῶν δεόντων εἰπεῖν τι ἢ πρᾶξαι. Hic autem operarum negligentia omissum videtur, quum Curterius latine reddat *aliquid*. Animadvertendum vero τι desiderari etiam in Cod. M. et S. — 9. τοῦ] S Mh V; τὸ vulgo. — 10. ὅ, τι] M. et Curt; ὅπῃ G, sed Ipl. ὅ, τι. — 10. τοι] Curt; σοι G. M. 1 et 3. VS. — 10. φέροντας] Sic correxeram vulgatum φέροντες, quod depravatum est in φέροντος ab eo qui codicem Mediceum scripsit. Postea vidi φέροντας etiam in Cod. Vindobonensi legi. — 11. τοι, ὃ —] Emendavit Bentlejus apud Needhamium pro vulg. τοῦ οἷος, quod ferri nequit. Sed jam ante Bentlejum sensum hujus loci perspexerat Dacerius, vertens: rapportant ce pronom toy à ce que *tu es* véritablement. Caeterum S. habet: τοῦ οἷος κυρίως . | . σὺ εἶ. M. 2 κυρίως ἐστι. Gaisf. conj. ὃς κυρίως σὺ εἶ. Holsten. e Med. leg. τοῦ σοι ὃς κυρίως. — 11. ἐὰν τὸ λεγόμενον] Asht. subaudiendum censet ᾖ, ut infra ἵν' ᾖ τὸ λεγόμενον; sed mihi locum accuratius consideranti scribendum videtur: ἐὰν οὖν κατὰ τὸ λεγόμενον μηδεὶς μήτε δι' ἔργων, μήτε διὰ λόγων παραγάγῃ σέ τι ποιῆσαι ἢ εἰπεῖν ὅ, τι μὴ συμφέρον ἐστί σοι· (σὺ δὲ ἦσθα ἡ λογικὴ ψυχή·) οὐκ ἀνέξῃ, ἐὰν εὖ φρονῇς κ. τ. λ. ita ut verba σὺ δὲ — ψυχή protasi velut ex abundanti addita quidem sint, sed tamen ex ἐὰν particula non pendeant: apodosis autem a verbis οὐκ ἀνέξῃ incipiat. — 12. παραγάγῃ σε] Cod. Med. et S. Ita paulo superius οἱ τρόποι τῆς παραγωγῆς ἢ διὰ λόγων ἢ ἔργων et infra Comment. in vers. 30 ὅσα οὐκ ἐᾷ παράγεσθαι ὑπ' οὐδενὸς οὔτε λόγῳ οὔτε ἔργῳ. Vulgo παραλογίσαιτο, cui *N.* adjecit σε. — 13. ἦσθα] Sic recte Curterius; ed. Lond. male ἦσθαι. — 14. εὖ φρονῇς] G; ἐμφρονῇς M.

πτοντός σε, τὸν ὄντα λογικὴν οὐσίαν. Σὺ γὰρ εἶ ἡ ψυχή· τὸ δὲ σῶμα, σόν· τὰ δὲ ἐκτός, τοῦ σώματος. Ἐκ γὰρ τῆς διαστάσεως ταύτης καὶ τὸ ἀσύγχυτον τηρήσεις τῶν φύσεων καὶ τὴν ἀνθρωπίνην οὐσίαν ἥτις ἐστὶν εὑρήσεις, οὐδέποτε τὸ σῶμα, οὐδὲ τὰ ἐκτός, σεαυτὸν εἶναι τιθέμενος, οὐδ' ὑπεραγωνιῶν τούτων ὥσπερ σαυτοῦ, ἵνα μὴ πρὸς φιλοσωματίαν καὶ φιλοχρηματίαν καθελκυσθῇς. Ὅλως γὰρ ὃ ἐσμεν ἀγνοήσαντες, καὶ οὗ τὴν ἐπιμέλειαν ποιώμεθα συναγνοήσομεν, πάντων μᾶλλον ἐπιμελούμενοι, ἢ ἡμῶν αὐτῶν, ὧν δεῖ προηγουμένην ποιεῖσθαι τὴν ἐπιμέλειαν. Εἰ γὰρ τὸ χρώμενον τῷ σώματί ἐστιν ἡ ψυχή, τὸ δὲ σῶμα ὀργάνου τάξιν ἐπέχει πρὸς αὐτήν, τοῦ δὲ ὀργάνου χάριν τὰ ἄλλα, πρὸς βοήθειαν τῆς ῥεούσης αὐτοῦ φύσεως, ἐξευρημένα· δῆλον, ὡς τοῦ ἡγουμένου καὶ pag. 116. πρώτου προηγουμένην τε καὶ πρώτην δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν· δευτέραν δέ, τὴν τοῦ δευτέρου. Ὅθεν οὐδὲ ὑγιείας ἀμελήσει ὁ σοφός· οὔτι προηγούμενον τὸ σῶμα δοξάζων, ἀλλὰ πρὸς τὴν τῆς ψυχῆς χρείαν αὐτὸ παιδαγωγῶν, ὅπως ἂν ταῖς ἐνεργείαις αὐτῆς ἀνεμποδίστως ὑπακούῃ· καὶ ἐκ τρίτου τῶν τρίτων ἐπιμελήσεται, οἰκονομῶν τὰ ἐκτὸς πρὸς τὴν τοῦ ὀργάνου σωτηρίαν. Πρώτης οὖν τῆς ψυχῆς, τάχα δὲ καὶ μόνης, ἐπιμελήσεται· εἴπερ ἡ τῶν μετ' αὐτὴν ἐπιμέλεια πρὸς τὴν ταύτης προκοπὴν τείνει. Πᾶν δὲ τὸ παρὰ τὴν ἀρετήν, τοῦτο ἦν, ὅ, τι τοι μὴ βέλτερόν ἐστιν· ᾧ γὰρ συμφέρον ἡ ἀρετή, τούτῳ τὸ παρ'

1. σὺ γὰρ εἶ ἡ ψυχή·] Similiter Plato Alcib. 1 p. 131. Simplic. Prooem. in Epictet. Antonin. 4, 41 et 12, 3. Cod. Med. habet ἡ λογικὴ ψυχή, quod etiam in S est. — 4. σεαυτὸν] Ipl. G; prior manus scripserat σαυτῷ. Vulgo αὐτοῦ. — 6. καθελκυσθῇς] M; κατελκυσθῇς G; καθελκισθῇς Curt. — 7. οὗ τὴν ἐπιμέλειαν] M. G; vulgo ὧν ἐπιμέλειαν. — 7. ποιώμεθα] corr. N. ex Aurisp. *quam rem maxime amare debemus ignorabimus*. Vulgo ποιούμεθα cum S. — 8. ἢ] Curt; om. SMG. — 9. τὴν] G; δὲ M; τήνδε τὴν S. — 12. ἐξευρημένα] vulgo; ἐξηυρημένα S. — 14. τὴν τοῦ] MC; τούτου G, sed superscriptum τὴν τοῦ. — 15. οὔτι] GC; οὐ M. — 15. πρὸς] vulgo; εἰς VM. — 17. τῶν τρίτων] G; τὴν τρίτην M. — 18. Verba οἰκονομῶν usque ad εἴπερ omissa in Cod. G. recentiore manu in margine scripta sunt. — 19. πρώτης] vulgo; πρώτην S. — 19. καὶ μόνης] καὶ particulum exhibet margo G. et M; vulgo om. — 21. δὲ] M. et Curt; δὴ GS. — 22. τούτῳ τὸ] M. Curter. in marg. ed. Paris et A; vulg. τοῦτο τὸ; G. τοῦτο καὶ τὸ — Aurispa: *Nam illi cui solum veritas et virtus opitulatur, cui virtus utilitatem affert*, quae non omnia in codd. leguntur. Caeterum τὸ omittit S.

ἐκείνην ἀσύμφορον. Κύκλον οὖν περιβάλλεσθαι συμβουλεύει τῶν ἀρετῶν φυλακτικὸν ὁ μηδὲν πείθεσθαι δεῖν λέγων τῷ πειρωμένῳ τῆς ἀρετῆς ἀπάγειν, δι' οἵων ἂν ἔργων ἢ λόγων τῆς πρὸς τὸ χεῖρον ἐκτρεπούσης πειθοῦς προςαγάγῃ τὴν πεῖραν· οἷον, μὴ ὑποσχέσεις προσάγων τύραννος, ἢ ταύτας ἔ ρ γ ῳ βεβαιῶν· μὴ ἀπειλαῖς θορυβῶν, ἢ αἰκίαις βιαζόμενος· μὴ φίλιον πρόσωπον. τῇ οἰκειότητι τὴν ἀπάτην ἐπικρυπτόμενον, ἀπαγάγῃ σε τοῦ συμφέροντος τῇ ψυχῇ. Ἦν δὲ ἀλήθεια καὶ ἀρετὴ τὰ ταύτην ὠφελοῦντα μόνα. Ἀνεξαπάτητος δὲ ἔσῃ, εἰ τὴν οὐσίαν τὴν σαυτοῦ γνούς, ἥτις τέ ἐστι, καὶ ᾧ φύσει ἔοικε, τῆς πρὸς ἐκεῖνο ὁμοιώσεως ἀεὶ τὴν ἐπιμέλειαν ἔχοις· πᾶν δὲ τὸ τῆς ὁμοιώσεως ἀπάγον μεγίστην ἡγοῖο ζημίαν. Τοῦτο γὰρ ἦν, ὅ, τ ι τ ο ι μ ὴ β έ λ τ ε ρ ό ν ἐ σ τ ι, τὸ τῆς θείας ὁμοιώσεως ἀπάγον· ἐπειδὴ καὶ β έ λ τ ε ρ ο ν ἡμῖν ἐστι τὸ πρὸς τὴν τοιαύτην ὁμοίωσιν φέρον. Τί οὖν προσάξει τις ἱκανὸν ἀποστῆσαι ἡμᾶς τῆς πρὸς θεὸν ὁμοιώσεως καὶ φιλοσοφίας; χρημάτων δόσιν ἢ ἀφαίρεσιν; Ἀλλὰ μεμαθήκαμεν μετὰ τοῦ ὀρθοῦ λόγου καὶ προσίεσθαι ταῦτα καὶ pag. 118. ἀποτίθεσθαι· καὶ τὸ ἄστατον τῆς κτήσεως αὐτῶν ἡμᾶς οὐ λαν-

2. δεῖν] G; om. M. — 3. ἢ λόγων] Codd. G. MR. et A: neque operibus neque verbis. Vulgo desunt, additur autem τῇ ante τῆς πρὸς τὸ χεῖρον. In Med. 1. et 2. λόγων τὴν reperitur sed λόγων τῇι τῆς in S. Vat. Mh. — 4. προςαγάγῃ] M; προςαγωγῇ GCh, sed Ipl. προςαγάγῃ; προςάγῃ Ch. — 7. ἀπαγάγῃ σε] Corr. N. ex A: *te ab utilitate* animi dimovere conetur. Vulgo ἀπαγάγηται. Med. ἀπαγάγησο. — 8. ἀρετὴ] G; ἡ ἀρετὴ M. — 9. ἀνεξαπάτητος δὲ ἔσῃ. εἰ τὴν οὐσίαν τὴν σαυτοῦ γνοὺς] Epictet. ap. Arrian. 1, 18 ὁ τύραννος δήσει· τί; τὸ σκέλος. ἀλλ' ἀφελεῖ· τί; τὸν τράχηλον. τί οὖν οὐ δήσει οὐδ' ἀφελεῖ; τὴν προαίρεσιν. διὰ τοῦτο παρήγγελον οἱ παλαιοὶ τὸ γνῶθι σεαυτόν. — 10. γνούς] vulgo; καταγνούς Ch. — 10. ἐκεῖνο] M; ἐκεῖνον G. VMhΣ i. e. τὸν θεόν. — 11. ἔχοις] S; ἔχῃς M; ἔχεις G. — 11. ἀπάγον] Cod. Med; vulgo cum SVMh minus recte παράγον. G. παράλογον, sed Ipl. παράγον. Supra legimus τῆς ἀρετῆς ἀπάγειν et ἀπαγάγῃ σε τοῦ συμφέροντος, infra autem eadem locutio repetitur τὸ τῆς ὁμοιώσεως ἀπάγον. — 13. καὶ] VGM 1. 2; δὲ Curt. — 14. ἐστι] M; vulgo om. — 14. φέρον] M. et A: *et e contra id nobis utilissimum est quod ad talem similitudinem nos conducit.* Codd. Gall. φέρων. Vulgo om. — 15. ἱκανὸν] vulgo; ἱκανῶς S. — 15. ὁμοιώσεως καὶ φιλοσοφίας] GM; vulg. καὶ deest. — 16. δόσιν ἢ ἀφαίρεσιν] Cod. Med; item Curterius latine reddens *largitionem aut ablationem*, etsi in textu habet δόσις ἢ ἀφαίρεσις cum S. pro δόσιν ἢ ἀφαίρεσιν. Hinc Needhamius Bentlejo suadente effecit δόσεις ἢ ἀφαιρέσεις. — 17. ταῦτα] Cod. Med; vulgo αὐτὰ cum S.

θάνει. Τί γάρ; ἂν μὴ οὗτος αὐτὰ ἀφέληται, κλέπτης αὐτὰ οὐκ ἀφαιρήσεται; καὶ γενναίως αὐτῶν ὑπομενοῦμεν τὴν ἀποβολὴν ὑπὸ τοῦ μὴ ἔχοντος. Ναυάγιον αὐτὰ οὐ παραιρήσεται; πόσοι δὲ ἄλλοι τρόποι διαφθορὰν χρημάτων ἐπάγουσιν; Ὧν ἕνεκα καὶ τὸν ὑπὲρ ἀρετῆς λογιούμεθα λόγον, ἑκουσίαν πενίαν μετὰ τοῦ καλοῦ ἀνταλλαττόμενοι χρημάτων, καὶ μετ' εὐλογίστου αἰτίας αὐτὰ ἀποδυόμενοι, καὶ τοσούτου τὴν ἀρετὴν ὠνούμενοι, ὅσον ἂν ἡμᾶς βλάπτῃ ὁ ταύτης παρακινεῖν ἐπιχειρῶν. Ἀλλὰ στρεβλώσεις προσοίσει, καὶ θάνατον. Πρόχειρον οὖν πρὸς ταῦτα ἀποκρίνεσθαι, ὡς οὐχ ἡμεῖς ταῦτα πεισόμεθα, ἐάν γε τὸ Ἡμεῖς τηρῶμεν· ἀλλὰ τὸ σῶμα ἔσται τὸ ὑβριζόμενον· τὸ σῶμα τὸ ἀποθνῆσκον, οὐδὲν παρὰ τὴν αὐτοῦ φύσιν πάσχον. Φύσει γάρ ἐστι θνητόν, καὶ τμητόν, καὶ μυρίοις ὑποκείμενον πάθεσιν, ἃ τυράννου μᾶλλον ἡ τυχοῦσα νόσος ἐπήγαγε. Τί οὖν φεύγομεν ἃ οὐκ ἔστιν ἐφ' ἡμῖν φεύγειν; Οὐ τηροῦμεν δὲ μᾶλλον, ἅ ἐστιν

1. οὗτος] M. 1. 2 et S.; ut sensus sit: si hic tyrannus ea non adimat. Vulgo οὕτως, quod cum sequentibus male vertit Needhamius ***si isto modo non adimantur***. — 1. ἀφέληται, κλέπτης αὐτὰ οὐκ ἀφαιρήσεται; καὶ γενναίως αὐτῶν ὑπομενοῦμεν τὴν ἀποβολὴν ὑπὸ τοῦ μὴ ἔχοντος.] i. e. Quid enim, si hic eas non adimat, nonne fur eas auferet? et magno animo nos illarum jacturam patiemur ab eo qui divitias non habet. Sunt enim οἱ ἔχοντες divites, οἱ μὴ ἔχοντες pauperes. Cf. Democr. fragm. p. 261 et 314. Sic restituimus locum quem e codd. Gall. hunc in modum edidit Curterius: ἀφέληται, καὶ γενναίως αὐτῶν ὑπομείνω τὴν ἀποβολήν, κλέπτης αὐτὰ οὐκ ἀφαιρήσεται; et quem Aurispa exemplar Venetum secutus vertit ***et magnanimiter illarum perditionem patietur ab eo qui non habet pecunias***. Verba καὶ γενναίως αὐτῶν ὑπομείνω τὴν ἀποβολὴν uncis inclusit Ashtonus glossema esse opinatus, Needhamius post ἀποτίθεσθαι collocavit, ita tamen ut pro ὑπομείνω poneret ὑπομεῖναι. — 3. ναυάγιον αὐτὰ οὐ παραιρήσεται] MG. et A: ***naufragium sibi illas non auferet***. Vulgo haec verba om. — 4. διαφθορὰν] vulgo; διαφορὰν S. — 4. χρημάτων] Sic dedit N; Curter. male conjecerat χρήμασι. A: ***honestam paupertatem libenter pro pecuniis, suscipientis***. Vulgo haec vox om. — 4. ὧν ἕνεκα καὶ τὸν —] Cod. Med. et S; ὧν ἕνα καὶ τὸν vulgo. B. pro λόγον, quod tamen ferri potest, ἀγῶνα vel πόνον legendum conjecit. — 5. ἑκουσίαν] vulgo; ἀκουσίαν S. — 7. τοσούτου τὴν ἀρετὴν ὠνούμενοι] Cod. M; vulg. τοσοῦτον. — 8. ἡμᾶς] G; om. M. — 8. βλάπτῃ] MC; βλάπτει G. — 10. ἀποκρίνεσθαι] M; ἀποκρίνασθαι G. — 10. τὸ ἡμεῖς τηρῶμεν] Ipl. GC. M. et A: ***quod nos sumus*** cf. p. 128. Vulgo τὸ ἡμῶν. — 12. παρὰ τὴν αὐτοῦ φύσιν] Cod. Med; παρὰ τὴν φύσιν τὴν ἑαυτοῦ Ipl. Codd. Gall; παρὰ φύσιν τὴν ἑαυτοῦ Curt. παρὰ φύσιν τὴν αὐτοῦ S. — 15. τηροῦμεν] GC; τηρῶμεν M.

ἐφ᾽ ἡμῖν τηρῆσαι; Τὸ γὰρ θνητὸν φύσει καταδεδικασμένον θανάτῳ οὐκ ἔστιν ὁτιοῦν ποιοῦντας ἐκσῶσαι τούτου· τὸ δὲ ἀθάνατον ἡμῶν (ὅπερ ἐστὶν ἡ ψυχὴ καὶ ἡμεῖς) δυνατὸν ἀρετῇ κοσμῆσαι μὴ μαλακισθέντας περὶ τὸν ἀπειλούμενον θάνατον. Ὃν εἰ μετ᾽ εὐλόγου αἰτίας ὑπομείνωμεν, κοσμήσομεν τῇ ὀρθῇ προαιρέσει τὴν ἀνάγκην τῆς φύσεως. Ταῦτα δή ἐστι τὰ μεγάλα, ὧν ἂν ἄλλος ἄλλῳ προτείνειέν τι παθεῖν, ἢ ἀποτίσαι· τὰ δὲ εἴσω τῆς ψυχῆς ἀδούλωτα ἄλλῳ, καὶ ἐλεύθερα, ἐὰν ἡμεῖς ἐθελήσωμεν· ἐὰν μὴ τῇ πρὸς τὸ σῶμα, ἢ τὰ ἐκτός, ἀμέτρῳ προσπαθείᾳ τὴν ἐλευθερίαν ἡμῶν ἑκόντες δουλαγωγήσωμεν, ζωῆς ἐφημέρου καὶ χρημάτων τὸ ἀγαθὸν τῆς ψυχῆς ἀποδιδόμενοι. Ταῦτα ἡμῖν εἰσηγεῖται τὸ προκείμενον παράγγελμα ἐπὶ παντὶ pag. 120. τελεῖν, δι᾽ ὧν τὸ μόνιμον καὶ ἀπαράγωγον τῆς ἀρετῆς ἐπισφραγίζεται. Ἀλλὰ ἐπὶ τὰ ἑξῆς μετίωμεν, πρὸς τὸ αὐτὸ δόγμα τὴν ἀναφορὰν ἔχοντα.

XIV. 27—29.

Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μῶρα πέληται.
δειλοῦ τοι πρήσσειν τε λέγειν τ᾽ ἀνόητα πρὸς ἀνδρός·
ἀλλὰ τάδ᾽ ἐκτελέειν, ἅ σε μὴ μετέπειτ᾽ ἀνιήσει.

Ἡ εὐβουλία καὶ γεννᾷ τὰς ἀρετάς, καὶ τελειοῖ, καὶ συνέχει, μήτηρ ἅμα καὶ τιθήνη καὶ φύλαξ αὐτῶν γενομένη. Βουλευο-

1. καταδεδικασμένον θανάτῳ] Ipl. GM. et A; vulgo καταδεδικασμένῳ θ. — 2. ἐκσῶσαι τούτου] Conj. Salvinus apud Dacerium et post eum Davisius, neque aliter Curterius legit, latine interpretans ***mortis decreto liberare***; vulgo male ἐξῶσαι τοῦτο. In Mediceo autem et Vindob. exemplari legitur τούτου. — 5. ὃν εἰ μετ᾽ εὐλόγου αἰτίας ὑπομείνωμεν] Ita correxi vulgatam ὃν εἰ μὴ μετ᾽ — ὑπομείνομεν quam agnoscit etiam Cod. Vindobonensis. cf. p. 42. M. om. μή; libri Gallici, quos Needhamius et Ashtonus sequuntur ὑπομείναιμεν habent. Curter. in margine ed. Paris. notavit εἰ ἡμεῖς μετ᾽ εὐλόγου, quod num e codd. petitum sit ignoro. — 5. κοσμήσομεν] Cod. Med; vulgo κοσμήσαιμεν cum S. — 6. δή] GC; δέ M. — 8. ἄλλῳ] GC; om. M. — 8. ἐθελήσωμεν] Cod. Med; vulgo θέλωμεν cum S. — 9. ἐὰν μὴ τῇ πρὸς τὸ σῶμα κ. τ. λ.] emend. Ashtonus; ἐὰν μὴ πρὸς τὸ σῶμα codices. — 11. ἐφημέρου] vulg; ἀφημέρου S. — 11. τὸ ἀγαθὸν τῆς ψυχῆς] G; om. M. — 12. προκείμενον] GC; παρὸν M. — 13. τῆς] M. et margo G; vulgo om. — 14. τὸ αὐτὸ δόγμα] S. et Cod. Med. apud Ashtonum, quamquam in meis schedis αὐτὸ τὸ δόγμα reperio; vulgo male τὰ αὐτὰ δόγματα. — 17. δὲ] GC; om. M. — 19. ἀνιήσει] G; ἀνιήσῃ MC. — 21. τιθήνη] M 1. 2. S. Σ; τιθηνὸς G. et Curt. — 21. γενομένη] vulg; γινομένη S.

μένων γὰρ ἡμῶν ἐφ' ἡσυχίας ὅν τινα τρόπον χρὴ ζῆν, τὸ τῶν ἀρετῶν προαιρεῖται κάλλος. Ἑλομένη δὲ διαθλεῖν γενναίως πάντας τοὺς ὑπὲρ ἀρετῆς ἀγῶνας, καὶ συνεθισθεῖσα τῇ κτήσει τῶν καλῶν ἤδη, κἀν ταῖς τῶν περιστάσεων ταραχαῖς τηρεῖ τὴν γνώμην ἀκέραιον, οὐδὲν ὑπὸ τῶν ἔξωθεν θορυβούντων ἐκπληττομένη πρὸς τὸ μεταθέσθαι ἄλλον εὐδαίμονα εἶναι βίον, ἢ ἐκεῖνον, ὃν ἐφ' ἑαυτῆς ἐλογίσατο κάλλιστον. Ὅθεν τρία γίνεται τῆς εὐβουλίας τὰ ἔργα. Πρῶτον, ἐκλογὴ τοῦ ἀρίστου βίου· δεύτερον, ἄσκησις τοῦ προαιρεθέντος· τρίτον, τήρησις ἀμετάστατος τῶν μελετηθέντων ὀρθῶς. Τούτων δὲ τὸ μὲν πρῶτόν ἐστιν ὁ πρὸ ἔργου λόγος, ὁ τὰς ἀρχὰς τῶν πράξεων ὑποτιθέμενος. Τὸ δὲ μέσον, ὁ σὺν τῷ ἔργῳ λόγος, ὁ προσβιβάζων ἕκαστον τῶν πραττομένων ταῖς ἡγουμέναις ἀρχαῖς. Τὸ δὲ τρίτον, ὁ ἐπὶ τῷ ἔργῳ λόγος ἀναλογιζόμενος τὰ πεπραγμένα, καὶ κρίνων εἰ δεόντως πέπρακται. Διὰ πάντων δὲ τὸ τῆς εὐβουλίας καλὸν
pag. 122. ἐπανθεῖ, νῦν μὲν κυούσης τὰς ἀρετάς, νῦν δὲ ἐκτρεφούσης, καὶ φρουρούσης ἐκ τρίτου. Ὡς ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν τῶν ἀγαθῶν ἐν ταύτῃ ἡμῖν κεῖσθαι, τήν τε ἀπαλλαγὴν τῶν κακῶν διὰ ταύτης μόνης ἡμῖν παραγίνεσθαι, καὶ τὴν τῶν ἀρετῶν τελείωσιν. Λογικῆς γὰρ τῆς φύσεως ἡμῶν οὔσης, καὶ διὰ τοῦτο βουλευτικῆς, οἰκείᾳ δὲ προαιρέσει πρὸς τὸ εὖ ἢ κακῶς βουλεύεσθαι προσαγομένης, ἡ μὲν κατὰ φύσιν ζωὴ σώζει τὴν οὐσίαν αὐτῆς, ἡ δὲ παρὰ τὸ δέον αἵρεσις διαφθείρει ἐφ' ὅσον οἷόν τε. Φθορὰ δὲ ἀθανάτου πράγματος κακία, ἧς ἀβουλία μήτηρ, ἣν ἐκφυγεῖν ὁ λόγος παραινεῖ ὅπως μὴ μῶρα πέληται.

2. διαθλεῖν] G. et Curt; διαθλεῖ S; διατελεῖ M. — 3. ἀγῶνας] M. et Curt; om. G. — 4. κἀν ταῖς — ταραχαῖς τηρεῖ] MG. et A. Vulgo κἂν ταῖς — ταραχαῖς τηρῇ. — 7. γίνεται] MG. et A: *quare tres sunt boni consilii effectus.* Vulgo om. — 10. μελετηθέντων] Libri omnes excepto Mediceo, ubi legitur ἐπιμελετηθέντων, quae vox usu caret. — 12. προςβιβάζων] Cod. Med. 1. 2. et S; i. e. accommodans; προςεμβιβάζων Salv; vulgo non male προσυμβιβάζων, quod Ashtonus tuetur i. e. πρὸ ἔργου συμβιβάζων. — 14. τῷ ἔργῳ] G; τοῖς ἔργοις M. — 17. τρίτου] GM 2; τρίτων VM 3 Salv. — 17. ὡς ἀρχήν τε — τῶν ἀρετῶν τελείωσιν] Aliter M: ὡς ἀρχήν τε καὶ μέσην καὶ τελευτὴν εἶναι τῶν ἀγαθῶν, καὶ ἐν ταύτῃ κεῖσθαι τὴν ἀπαλλαγὴν τῶν κακῶν, καὶ διὰ ταύτης μόνης ἡμῖν παραγίνεσθαι καὶ τὴν τῶν ἀρετῶν τελείωσιν. — 23. διαφθείρει] Cod. Med. et S; φθείρει libri Gall. et Curt.

Μῶρα δὲ τὰ ἄθλια καὶ κακά. Τὸ γὰρ λέγειν ἢ πράσσειν ἀνόητα δειλοῦ πρὸς ἀνδρός ἐστιν, ἀντὶ τοῦ, κακοδαίμονος ἴδιον ἀνθρώπου. Εἰ δὲ βουλεύοιο πρὸ ἔργου, οὔτε ἐρεῖς τι, οὔτε πράξεις, ἀνόητον, ἐφ' οἷς ἀνιᾶσθαι ἀνάγκη τοὺς τῇ ἀβουλίᾳ ὑπευθύνους. Τὸ γὰρ σαθρὸν τῆς αἱρέσεως τῇ μεταμελείᾳ ἐλέγχεται πείρᾳ δεῖξαν τὴν βλάβην, ὥσπερ αὖ τὸ τῆς εὐβουλίας γενναῖον πρὸς τὸ μόνιμον ἄγει τῆς ἐκλογῆς, ἐπ' αὐτῶν τῶν ἔργων τὴν ὠφέλειαν ἐπιδεικνύμενον· ὠφέλειαν δέ, οὐ τὴν τοῦ σώματος, οὐδὲ τὴν τῶν ἐκτός, ἀλλὰ τὴν ἡμῶν αὐτῶν, οἷς καὶ τὸ βουλεύεσθαι πρὸ ἔργου παραγγέλλεται, καὶ ταῦτα ἐκτελεῖν, ἃ μὴ ἀνιήσει ἡμᾶς· ἡμᾶς δὲ δῆλον ὅτι τὴν ψυχήν. Τί γὰρ ὄφελος ἐπιορκίαις, ἢ φόνοις, ἢ ἄλλαις τισὶ κακοπραγίαις ληΐσασθαι χρήματα, καὶ πλουτεῖν τὰ ἔξω, πενόμενον τὴν ψυχὴν τῶν ἐπιβαλλόντων αὐτῇ καλῶν· καὶ πρὸς τοῦτο ἢ ἀναισθήτως ἔχειν, καὶ διὰ τοῦτο μᾶλλον ἐπιτείνειν τὸ κακόν, ἢ εἰς αἴσθησιν τῶν εἰργασμένων ὑπὸ τῆς συνειδήσεως ἑλκόμενον στρεβλοῦσθαι τὴν ψυχήν, καὶ δειμαίνειν τὰ ἐν ᾅδου pag. 124. κολαστήρια· καὶ μόνην ἴασιν ἐξευρίσκειν τὴν εἰς τὸ μὴ εἶναι καταφυγήν, ὅθεν αὐτῷ παρίσταται κακῷ τὸ κακὸν ἰᾶσθαι, φθορᾷ τῆς ψυχῆς τὴν κακίαν παραμυθουμένῳ, καὶ τὴν μετὰ θάνατον οὐδένειαν ἑαυτοῦ καταψηφίζεσθαι φυγῇ τῶν τῆς κρίσεως πόνων; Οὐ βούλεται γὰρ ὁ κακὸς ἀθάνατον εἶναι τὴν αὐτοῦ ψυχήν, ἵνα μὴ ὑπομείνῃ τιμωρούμενος. Καὶ φθάνει τὸν ἐκεῖ δικαστήν, θάνατον ἑαυτοῦ παντελῆ καταψηφιζόμενος, ὡς πρέπον τὴν πο-

1. τὰ ἄθλια] MS; ἄθλια G. — 3. δὲ] vulgo; δὴ S. — 4. πράξεις] Curt. et A: *neque facies*; vulgo πράσσεις. — 6. πείρᾳ] MC; πεῖραν G. — 6. αὖ] GC; οὖν M. — 7. εὐβουλίας] G; ἀβουλίας Curt. — 9. τῶν] G; om. M. — 11. καὶ] GC; δὲ καὶ M. — 11. ἀνιήσει] em; ἀνιήσῃ Codd. N; ἀνιάσει Curt; ἀνιῶσι M. ἀνιήσειν S. — 11. δῆλον ὅτι] G; δηλονότι M. — 14. τὴν ψυχὴν] M. G. et A: *pauperem animum fieri*; vulgo τῇ ψυχῇ. — 14. πρὸς τοῦτο] vulgo; πρὸς τούτωι S. — 15. ἐπιτείνειν] G; ἐπιτεῖνον Curt. — 16. ὑπὸ] vulg; ἀπὸ S. — 18. κολαστήρια] libri Gall. et Curt; cod. Med. et S δικαστήρια. — 18. ἐξευρίσκειν] Cod. Med; vulg. εὑρίσκειν cum S. — 19. αὐτῷ — φθορᾷ] vulgo; αὐτὸ — φθαρᾷ S. — 21. οὐδένειαν] vulgo; οὐδένιαν S. — 21. φυγῇ τῶν τῆς κρίσεως πόνων] M. *ut judicii poenas effugiat*; vulgo φυγὴν κ. τ. λ. — 22. αὐτοῦ] GC; ταὐτοῦ M. — 24. θάνατον ἑαυτοῦ παντελῆ κ.] Cod. Med. et S; vulgo desideratur παντελῆ. Est vero θάνατος παντελὴς idem quod οὐδένεια. — 24. ὡς πρέπον τὴν πονηρὰν ψυχὴν μηδὲ εἶναι] vulgata lectio est, cujus loco Cod. Med. habet: καὶ ὡς πρέπον τὴν πονηρὰν ψυχὴν μηδὲ εἶναι νομίζει. Codd. G. male μὴ δὲ exhibent.

νηρὰν ψυχὴν μηδὲ εἶναι. Ἀλλ' οὗτος μέν, ὡς ἀβουλίᾳ πρὸς κακίαν ὑπενεχθείς, εἰκότως ἀμετρίᾳ τὴν καθ' ἑαυτοῦ ψῆφον ἐκφέρει· οἱ δὲ ἐν ᾅδου δικασταί, ἅτε πρὸς τὸν τῆς ἀληθείας κανόνα τὴν κρίσιν ποιούμενοι, οὐ κρίνουσι μὴ εἶναι δεῖν τὴν ψυχήν, ἀλλὰ πονηρὰν μὴ εἶναι, καὶ ὅπως ἂν μετριάσῃ τὸ κακὸν αὐτῆς πραγματεύονται, ἐπὶ σωτηρίᾳ τῆς φύσεως τὰς κολάσεις ἐπάγοντες, ἰατροῦ δίκην, τομαῖς τε καὶ καύσεσι τὰ χειρώνεια ἕλκη θεραπεύοντες· καὶ τῶν ἡμαρτημένων δίκας εἰσπράττοντες, μετανοίᾳ ψυχῆς τὴν πονηρίαν ἀφανίζειν πειρώμενοι· οὐκ αὐτὴν τὴν οὐσίαν ἐξιστάντες τοῦ εἶναι, ἀλλ' εἰς τὸ εἶναι μᾶλλον ἐπανάγοντες τῇ τῶν λυμαινομένων παθῶν ἐκκαθάρσει. Κινδυνεύει γὰρ εἰς τὸ μὴ εἶναι ὑποφέρεσθαι ἡ ἀνθρωπίνη ψυχὴ διὰ τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς, τῇ δὲ εἰς τὸ κατὰ φύσιν ἀνακλήσει πρὸς τὴν οὐσίαν τὴν αὐτῆς ἐπανάγεται, καὶ ἀπολαμβάνει καθαρὸν τὸ εἶναι, ὃ τῇ συμμίξει τῶν παθῶν ἐκηραίνετο. Διὸ πειρᾶσθαι δεῖ μάλιστα μὲν μὴ ἁμαρτάνειν, ἁμαρτόντας δὲ σπεύδειν ὡς ἐπὶ ἰατρικὴν τῆς πονηρίας τὴν δίκην, ἐπανορθουμένους τὴν ἀβουλίαν τῇ κρείττονι βοηθείᾳ. Ἐπεὶ γὰρ τοῦ εἶναι ἀγαθοὶ ἐκπεπτώκαμεν, τοῦ γίνεσθαι γοῦν ἀντιλαβώμεθα μεταμελείᾳ
pag. 126. εὐγνώμονι τὴν θείαν ἐπανόρθωσιν εἰσδεχόμενοι. Ἡ δὲ μετάνοια αὕτη φιλοσοφίας ἀρχὴ γίνεται, καὶ τῶν ἀνοήτων ἔργων τε καὶ λόγων φυγή, καὶ τῆς ἀμεταμελήτου ζωῆς ἡ πρώτη παρασκευή. Ὁ γὰρ καλῶς πρὸ τῶν πράξεων βουλευόμενος οὐ

2. εἰκότως ἀμετρίᾳ] Vulgati libb. et A; M. εἰκότως μετρίαν. — 3. τὸν] MG; τὴν male Curterius. — 4. κρίνουσι] Curter. et cod. Med; κρινοῦσι codd. Gall. quod posuit Needhamius, secutus simul Aurispam vertentem: ***non judicabunt.*** In hujus autem codice deerat μὴ post πονηράν. — 6. πραγματεύονται] Cod. Med. et S; πραγματεύσονται vulgo. — 7. τε] Ipl. G; vulgo om. — 7. χειρώνεια ἕλκη] Vulg. codd. cf. Suid. s. v; χειρόνεια S; G. χείρονα ἕλκη. A: ***mala ulcera.*** — 8. εἰσπράττοντες] vulgo; εἰσπράττοντας Ch. — 10. ἀλλ' εἰς τὸ εἶναι] Codd. GM. et R. A: ***non existentiam auferre nituntur, sed ad se potius reducunt.*** Vulgo om. — 11. Κινδυνεύει γὰρ — εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς] Corr. Cas. A: ***quum a sua natura divertit.*** Vulgo male κινδύνει γὰρ — εἰς τὸ μὴ παρὰ φύσιν. Sed G. κινδυνεύει; M. autem μὴ om. — 14. τὴν] G; om. M. — 14. αὐτῆς] vulgo; αὐτὴν S. — 15. ἐκηραίνετο] GC; ἐκηραίνετε S: ἐκμαραίνεται M. — 16. ἁμαρτόντας] GC; ἁμαρτάνοντας MS. — 19. ἀντιλαβώμεθα] Cod. Med; ἀντιλαμβανόμεθα vulgo; ἀντιλαμβανώμεθα S. — 20. εἰσδεχόμενοι] vulgo; ἐκδεχόμενοι Vat. — 21. ἀνοήτων] MC; ἀνονήτων G. — 22. τῆς] G. et Curt; om. M. — 22. παρασκευή] GC; ὑπακοή M.

περιπίπτει λύπαις ἀκουσίαις, οὐδὲ λανθάνει τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις διδούς, ὧν τὰ συμπεράσματα καὶ τὰς ἐκβάσεις οὐκ ἀσμενίζει, ἀλλ' ἀεὶ τὸ παρὸν συντίθησι, τῶν ἄλλως ἐπισυμβαινόντων τὰς τύχας ἐκλογιζόμενος. Διὸ οὔτε προςδοκίᾳ τῶν λεγομένων ἀγαθῶν τὸ ὄντως ἀγαθὸν ἂν παρίδοι, οὔτε φόβῳ τῶν ἐναντίων τὴν τοῦ κακοῦ πρᾶξιν αἱρήσεται· ἑστώσῃ δὲ τῇ γνώμῃ πρὸς τοὺς θείους κανόνας τὸν ἑαυτοῦ βίον ἀπευθύνει. Ἵνα δὲ γνῷς ὅτι δειλοῦ πρὸς ἀνδρός ἐστι πράσσειν τε καὶ λέγειν ἀνόητα, ὅρα Μήδειαν τὴν ἐν τῇ τραγῳδίᾳ τὰ καθ' αὑτὴν ὀδυρομένην· ἥτις ἀβουλήτως τοὺς οἰκειοτάτους προδοῦσα δι' ἔρωτα ἔκτοπον ἀνδρὶ ξένῳ ἑαυτὴν ἐνεχείρισεν· ἔπειτα ὀλιγωρουμένη ὑπὸ τούτου, ἀφόρητα πάσχειν οἴεται· καὶ ἐκ τῆς οἰήσεως ταύτης ἀκούεις οἷα βοᾷ·

Διά μου κεφαλῆς φλὸξ οὐρανία
Βαίη·

καὶ πρόεισιν εἰς ἔργα παράνομα· πρῶτον ἀνοήτως ἐπευχομένη μὴ γεγενῆσθαι τὰ γενόμενα, εἶτα μανικῶς κακοῖς ἰᾶσθαι τὰ κακὰ πειρωμένη τὴν τῆς ἀβουλίας ἀρχὴν ἐξαλείφειν οἴεται τέλει χείρονι, παιδοκτονίᾳ προπετεῖ τὴν ἄβουλον παιδοποιΐαν ἀρνουμένη. Εἰ δὲ βούλει, τὸν Ἀγαμέμνονα θέασαι τὸν Ὁμήρου, ὃς τῆς ἀμετρίας τοῦ θυμοῦ διδοὺς δίκας οἰμώζων ἀναφωνεῖ

— ἀλλ' ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω.

1. ἀκουσίαις] vulgo; ἀκουσίοις S. — 3. συντίθησι] GC; τίθησε M. — 3. ἄλλως] Curt. et Ipl. G, sed G. et M. ἄλλων. — 4. προςδοκίᾳ] MhΣ; προςδοκίας S; προςδοκίαις vulgo. — 5. παρίδοι] MS; παρίδῃ G. Curt. — 7. τοὺς θείους] G. Curt; τὸν θεὸν M. — 7. κανόνας] vulgo; om. S. — 10. αὑτὴν] G. et Curt; ἑαυτὴν MS. — 15. βαίη] Codd. N. et ipse Eurip. Med. vs. 144; vulg. inepte βαίοι. — 16. ἐπευχομένη] MGC; ἀπευχομένη SΣM2. — 17. μὴ γεγενῆσθαι] M; omittitur μὴ in codd. Gall. S et ab A: ***stulte cogitans ea fieri quae facta sunt***. — 17. γενόμενα] Cod. Med. et S; neque aliter scriptum repperit Aurispa in Veneto exemplari. Vertit enim ***quae facta sunt***. Vulgo male γινόμενα. — 18. τὴν τῆς ἀβουλίας — ἀρνουμένη] Codd. G. et R. Vulgo lacuna est inter πειρωμένη et εἰ δὲ βούλει. Addidi τὴν ante ἄβουλον e Cod. Med, in quo reliqua sic scribuntur: πειρωμένη τὴν τῆς ἀβουλίας ἀρχὴν ἐξαλείψειν οἴεται τέλει χείρονι. Παιδοκτονία προπετῆ τὴν ἄβουλον παιδοποιΐαν αἰνουμένη, ἡ δὲ βουλή. Caeterum τὴν ante ἄβ. habet etiam S. qui male ἀρνῦμένη. — 20. τὸν Ὁμήρου] G; A: ***inspice Agamemnonem apud Homerum***; vulgo τοῦ Ὁμήρου. — 21. τοῦ] G. M; om. Curt. — 22. ἀλλ'] vulg. om. S. — 22. ἀλαλύκτημαι] Emend. N ex Iliad. κ'. vs. 94; vulg. ἀλύκτημαι; M. ἀλλολέκτημαι. — 22. ἔξω] G; ἐξ ὧν M.

Καὶ τὸ πυρῶδες τῶν ὀμμάτων, ὃ πάλαι ὑπὸ τῆς θυμικῆς δια- pag. 128. θέσεως ἐξήπτετο, μεταπεσόντων αὐτῷ τῶν πραγμάτων, τοῖς τῶν δακρύων ὄμβροις κατέψυχε. Τοιοῦτος γὰρ πᾶς ἀνόητος βίος, τῇδε κἀκεῖσε τοῖς ἐναντίοις πάθεσι μεταπίπτων, ἐν ἡδοναῖς μέν ἐστι μισητός, ἐν δὲ λύπαις ἐλεεινός, καὶ θαῤῥῶν προπετής, καὶ δεδιὼς ταπεινός· καὶ ὅλως τοῦ τῆς εὐβουλίας γενναίου φρονήματος ἀμοιρῶν τῇ τύχῃ συμμεταβάλλει τὴν γνώμην. Ἵνα οὖν μὴ τοιούτων δραμάτων ἀναπιμπλώμεθα, πράσσοντες καὶ λέγοντες ἀνόητα, τῷ ὀρθῷ λογισμῷ διὰ πάντων ἡγεμόνι χρησώμεθα, τὸ Σωκρατικὸν ἐκεῖνο πληροῦντες, „ὡς ἐγὼ οὐδενὶ οἷός τέ εἰμι πείθεσθαι τῶν ἐμῶν, πλὴν τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ ὀρθὸς φαίνηται." Ἡμῶν δέ ἐστιν, ἀλλὰ οὐχ Ἡμεῖς, πάντα ὅσα πρὸς ὑπηρεσίαν τῇ λογικῇ οὐσίᾳ δέδοται, οἷον θυμός, ἐπιθυμία, αἴσθησις, αὐτὸ τὸ σῶμα, τὸ εἰς ὀργάνου χρείαν ταῖς δυνάμεσι ταύταις παρειλημμένον· ὧν οὐδενὶ χρὴ πείθεσθαι, πλήν, ὥς φησι, τῷ ὀρθῷ λόγῳ, τουτέστι τῷ λογικῷ κατὰ φύσιν διατεθέντι. Τοῦτο γὰρ καὶ διορᾶν δύναται ἃ λεκτέα τε καὶ πρακτέα. Λόγῳ δὲ ὀρθῷ πείθεσθαι καὶ Θεῷ, ταὐτόν ἐστι. Τὸ γὰρ λογικὸν γένος εὐμοιρῆσαν τῆς οἰκείας ἐλλάμψεως ταῦτα βούλεται ἃ ὁ θεῖος ὁρίζει νόμος· καὶ γίνεται σύμψηφος Θεῷ ἡ κατὰ Θεὸν διακειμένη ψυχή, καὶ πρὸς τὸ θεῖον καὶ τὸ λαμπρὸν ἀποβλέπουσα πράττει ἃ ἂν πράττῃ. Ἡ δὲ ἐναντίως δια-

2. μεταπεσόντων αὐτῷ τῶν πραγμάτων] G. et A: ***decidentibus mutatisque illi rebus***, plane ut Alex. Aphr. lib. 2 de anim. cap. ult. μεταπεσούσης δὲ τῆς τύχης αὐτοῖς. Vulgo μεταπεσόντων αὐτῶν τῶν πραγμάτων. In cod. Med. haec paulo aliter scripta leguntur: καὶ τὸ πυρῶδες τῶν ὀμμάτων τῷ τῶν δακρύων ὄμβρῳ κατέψυχεν, ὃ πάλαι ὑπὸ τῆς θυμικῆς διαθέσεως ἐξήπτετο, μεταπεσόντων αὐτῷ τῶν πραγμάτων. Τοιοῦτος γὰρ πᾶς. — 4. τοῖς] G; ἐν τοῖς M. — 5. ἐν δὲ λύπαις] Cod. Med. et S; reliqui δὲ omittunt. — 6. δεδιὼς] vulg; δεδειὼς S. — 6. ὅλως] MC; ὅλος G. — 7. τὴν γνώμην] G. et A: ***mentem fortunae supponit***; vulg. τῇ γνώμῃ. — 10. χρησώμεθα] Cod. M. et A: ***recta ratione in omnibus utamur duce***; vulgo χρησόμεθα. — 11. οἷος] vulg; οἷον S. Verba sunt Platonis Crit. p. 46. B. — 13. τῇ λογικῇ οὐσίᾳ δέδοται] G. M. R. et A: ***quae ad serviendum rationali existentiae conceduntur***. Vulg. τὴν λογικὴν δίδοται. — 17. διατεθέντι] G; vulg. διατιθέντι, quod expressit A: ***secundum naturam disponens***; M. ἀνατεθέντι. — 17. τοῦτο] G. et Curt; τούτῳ M. — 17. ἃ λεκτέα] Cod. Med. et S; ἃ ἀληκτὰ G. Vulgo λεκτέα, cujus loco cum Ashtono malim τὰ λεκτέα. — 19. ταῦτα] Codd; Needham. ex Aurispae interpretatione ταὐτά. — 22. ἀποβλέπουσα] GC; βλέπουσα MS. — 22. ἐναντίως] vulg; ἐναντία Vat.

κειμένη πρὸς τὸ ἄθεον καὶ σκοτεινὸν εἰκῇ καὶ ὡς ἔτυχε φερομένη, ἅτε τῆς μόνης τῶν καλῶν στάθμης, νοῦ καὶ Θεοῦ, ἀποπεσοῦσα, πλανᾶται. Τοσαῦτα μὲν καὶ τοιαῦτα τῆς εὐβουλίας τὰ ἀγαθά, καὶ τῆς ἐναντίας διαθέσεως τὰ κακά. Τὸ δὲ β ο υ λ ε ύ ε σ θ α ι π ρ ὸ ἔ ρ γ ο υ, πρὸς τοῖς ἄλλοις ἀγαθοῖς, καὶ τῆς οἰήσεως ἐκκόπτει τὰς ἀφορμάς, καὶ πρὸς ἐπιστήμης ἀνάληψιν παρακαλεῖ, καὶ τὸν ἥδιστον ἡμῖν προξενεῖ βίον, εἴπερ καὶ τὸν pag. 130.
ἄριστον· δηλοῦται δὲ ταῦτα διὰ τῶν ἑξῆς.

XV. 30—31.

πρῆσσε δὲ μηδὲν τῶν μὴ ἐπίστασαι, ἀλλὰ διδάσκευ
ὅσσα χρεών, καὶ τερπνότατον βίον ὧδε διάξεις.

Τὸ μὲν μὴ ἐγχειρεῖν οἷς οὐκ ἴσμεν, ἀναμαρτήτους ἡμᾶς διαφυλάττει μόνον· τὸ δὲ διδάσκεσθαι τὰ πρὸς τὴν ἀρίστην ζωὴν συντείνοντα, πρὸς τῷ ἀναμαρτήτῳ, καὶ τὴν κατόρθωσιν ἐν ταῖς πράξεσιν ἡμῖν παρέχεται. Ἡ μὲν γὰρ σύνεσις τῆς ἀγνοίας τὴν ἐκ τῆς οἰήσεως ἐγειρομένην προπέτειαν ἐκκόπτει· ἡ δὲ τῆς ἐπιστήμης κτῆσις τὸ τῶν ἐνεργειῶν ἀπαρεμπόδιστον δίδωσιν. Ἀμφότερα δὲ καλά, καὶ τὸ εἰδέναι ὅτι οὐκ ἴσμεν, καὶ τὸ γνῶναι ἃ οὐκ ἴσμεν· οἷς ἕπεται β ί ο ς ὁ ἄριστος ἅμα καὶ ἥ δ ι σ τ ο ς. Οὗτος δέ ἐστιν ὁ οἰήσεως μὲν καθαρεύων, ἐ π ι σ τ ή μ η ς δὲ πλήρης· ἐπὶ μηδενὶ μὲν ἐπαιρόμενος ὧν οὐκ οἶδε, μανθάνειν δὲ ἐθέλων ὅσα ἄξια μαθήσεως. Ἄξια δὲ ἐκεῖνα μόνα, ὅσα πρὸς τὴν θείαν ὁμοίωσιν ἡμᾶς ἀνάγει· ὅσα ποιεῖ βουλεύεσθαι πρὸ ἔργου, ὅπως μὴ μῶρα πέληται· ὅσα οὐκ ἐᾷ παράγεσθαι ὑπ' οὐδενὸς οὔτε λόγῳ, οὔτε ἔργῳ· ὅσα διακρίνειν ἱκανοὺς ποιεῖ

1. πρὸς] GC; κατὰ M. — 1. φερομένη, ἅτε —, ἀποπεσοῦσα, πλανᾶται] Cod. Med; neque aliter habuit Curterii liber, nisi quod ibi πλανᾶται desiderabatur ut in S. Quamobrem Curterius pro φερομένη in margine posuit φέρεται, quam conjecturam Needhamius arripuit. A: ***ad impium impellitur.*** — 3. τῆς εὐβ. τ. ἀγ.] vulg; τὰ τῆς εὐβ. ἀγ. Mh. — 4. καὶ τῆς ἐναντίας διαθέσεως τὰ κακά] Cod. G. R. et A: ***boni consilii felices effectus et contrariae dispositionis infelices.*** Vulgo haec desiderantur, Mediceus autem post πλανᾶται praepostero ordine habet. — 7. ἥδιστον] GC; ἴδιον MS. — 10. πρῆσσε] vulg; πρᾶσσε S. — 10. τῶν] GC; ὧν M. — 12. ἐγχειρεῖν] M. 1. 2. VSG; vulgo ἐπιχειρεῖν. — 12. οἷς οὐκ ἴσμεν] Sic rectius M. et A: ***nihil incipere quod nescimus;*** S. ἴσμεν ut supra; vulgo οἵοις οὐκ ἴσμεν. — 17. ἀπαρεμπόδιστον] M; ἀπαραπόδιστον VSGC. — 20. ὁ οἰήσεως] S; vulg. art. om. — 22. ἐθέλων] GC; θέλων M. — 23. ἀνάγει] Ipl. G; vulg. cum S. ἄγει. A: ***quae ad similitudinem dei nos inducunt.*** — 23. ποιεῖ] vulg; ποιεῖν SΣV. — 24. παράγεσθαι] vulg; παράγεσθαι πρὸ ἔργου S. — 25. ἱκανοὺς] vulgo; ἱκανῶς ΣV.

τῶν προσπιπτόντων λόγων τὸ διάφορον· ὅσα τὰς δαιμονίας τύχας πράως φέρειν καὶ ἴᾶσθαι πείθει, καὶ τὴν θανάτου καὶ πενίας ἀφοβίαν διδάσκει, καὶ δικαιοσύνης ἄσκησιν, καὶ γαστρὸς καὶ τῶν περὶ τὴν γαστέρα τὴν ἐγκράτειαν· ὅσα τοὺς τῆς φιλίας νόμους εἰσηγεῖται, καὶ τὴν γονέων τιμήν· ὅσα τῶν χρειττόνων γενῶν τὸ σέβας ὑποδείκνυσι. Ταῦτα καὶ τὰ τοιαῦτά ἐστιν, ἃ pag. 132. διδάσκεσθαι χρῆναί φησιν ὁ παρὼν λόγος, οἷς ἕπεται βίος ὁ τερπνότατος. Ὁ γὰρ ἀρετῇ διαπρέπων καὶ ἡδονὰς ἀμεταμελήτους καρποῦται μιμουμένας τὸ τῆς ἀρετῆς μόνιμον. Πέφυκε γὰρ πᾶσα ἡδονὴ ἐνεργείας ἡστινοσοῦν εἶναι παρακολούθημα. Οὐ γὰρ αὐτὴ καθ' ἑαυτὴν τὴν ὑπόστασιν ἔχει, ἀλλ' ἐπακολουθεῖ τάδε ποιοῦσιν ἡμῖν ἢ τάδε. Διὸ ταῖς μὲν φαυλοτέραις τῶν ἐνεργειῶν αἱ χείρους τῶν ἡδονῶν ἕπονται, ταῖς δὲ ἀμείνοσιν ἡδοναὶ συνεισέρχονται σπουδαῖαι· ὥστε μὴ μόνῳ τῷ καλῷ περιεῖναι τὸν σπουδαῖον τοῦ φαύλου, ἀλλὰ καὶ αὐτῇ τῇ ἡδονῇ νικᾶν, δι' ἣν μόνην δοκεῖ εἰς κακίαν ὁ φαῦλος ὑπάγεσθαι. Καὶ γὰρ ὅσῳ ἡ διάθεσις τῆς διαθέσεως ἀμείνων, τοσούτῳ καὶ ἡ ἡδονὴ τῆς ἡδονῆς αἱρετωτέρα. Ἐπεὶ οὖν ὁ κατ' ἀρετὴν βίος, τῆς θείας ὁμοιώσεως ἀντεχόμενος, τῷ ὄντι θεῖός ἐστιν, ὁ δὲ ἐν κακίᾳ, θηριώδης καὶ ἄθεος· δῆλον, ὡς ἡ μὲν τοῦ σπουδαίου ἡδονὴ τὴν θείαν εὐφροσύνην μιμεῖται νῷ καὶ Θεῷ συνεπομένη, ἡ δὲ τοῦ φαύλου ἡδονὴ λεγομένη (δεδόσθω γὰρ κοινὸν τὸ ὄνομα) πρὸς τὴν θηριώδη καὶ ἔμπληκτον ὁμοιοῦται κίνησιν. Ἡδοναὶ γὰρ καὶ λῦπαι μεθιστᾶσιν· ὧν ὁ μὲν ἀρυόμενος, ὅθεν τε δεῖ, καὶ ὁπότε, καὶ ὁπόσον, εὐδαιμονεῖ· ὁ δὲ τὰ μέτρα τούτων ἀγνοήσας, ἄθλιος. Οὕτως οὖν ὁ μὲν οἰήσεως καθαρεύων βίος ἀναμάρτητός ἐστι μόνος· ὁ δὲ καὶ ἐπιστήμης πληρωθείς,

2. ἴᾶσθαι] vulgo; ἰάσασθαι S. — 3. ἀφοβίαν] Codd. G. MR. et A: ***quae docent paupertatem sine timore et mortem ferre.*** Vulgo om. — 4. τοὺς] vulgo; om. SΣ. Caeterum ὅσα τε φ. Ch. — 7. χρῆναι] GC; χρή M. — 8. ὁ] MC; om. ΣVG. — 8. τερπνότατος] GC; τερπνός M. — 10. ἡστινοσοῦν] GC; om. M. — 11. ἑαυτὴν] GC; αὑτὴν MS. — 12. μὲν] GM; om. Curt. — 12. φαυλοτέραις] G. et Curt; φαύλαις M. — 14. ἡδοναὶ συνεισέρχονται σπουδαῖαι] Cod. M; S et vulg. ἡδοναῖς συνεισέρχονται σπουδαῖαι. SVG σπουδαί. A: ***meliores vero virtutes imitantur.*** — 14. μόνῳ] Cod. Med; vulgo μόνον. — 17. γὰρ] GC; om. M. — 21. συνεπομένη] GCM 2; συναπτομένη M 1. 3. V. — 23. ἔμπληκτον] GC. et Curt; ἔκπληκτον Med. Cf. Schaef. ad. Greg. Cor. p. 405 et ibid. Bast. p. 722. — 24. ἀρυόμενος] vulgo; ἀρνούμενος Ch. — 26. ἄθλιος] M; ὁ ἄθλ. Curt. — 27. μόνος] M; vulgo

κατωρθωμένος καὶ τέλειος· ὁ δ' αὐτὸς ἥδιστός τε ἅμα καὶ ἄριστος. Οὐκοῦν ἃ μὲν μὴ ἴσμεν οὐδέποτε πράξομεν· ἃ δὲ ἴσμεν, ὅτε δεῖ. Ἡ μὲν γὰρ ἄγνοια τὴν κακίαν εἰσηγεῖται, ἡ δὲ γνῶσις τὴν εὐκαιρίαν ζητεῖ. Πολλὰ γὰρ ὄντα σπουδαῖα τῇ μεταθέσει τοῦ καιροῦ γίνεται φαῦλα. Ἐν τάξει οὖν ἀκούσωμεν τοῦ παραγγέλματος, ἐκ μὲν τῆς ἐποχῆς τῶν πράξεων τὸ ἀναμάρτητον ἡμῖν εἰσηγουμένου, ἐκ δὲ τῆς προτροπῆς τοῦ μανθάνειν οὐ πάντα, ἀλλ' ὅσα δεῖ, πρὸς τὰς ἀρίστας πράξεις ἡμᾶς ἐπανάγοντος. Οὐ γὰρ ἐν τῷ μὴ ἁμαρτάνειν ἐστὶ τὸ κατορθοῦν, ἀλλ' ἐν τῷ τὰ δέοντα εἰδέναι· καὶ τὸ μὲν ἡ κάθαρσις τῆς οἰήσεως, τὸ δὲ ἡ τῆς ἐπιστήμης παρουσία, ἐργάζεται. Ἐν δὲ τῷ μὴ ἁμαρτάνειν, καὶ ἐν τῷ κατορθοῦν, ὅρα τί συμβήσεταί σοι· τερπνότατον βίον ὧδε διάξεις. Τίς δὲ οὗτος, εἰ μὴ μόνος ὁ ἀπὸ τῆς ἀρετῆς τὸ ἡδὺ κεκτημένος, ᾧ συνδεδράμηκεν ἅμα τὸ ἀγαθόν, καὶ τὸ ἡδύ; Εἰ οὖν ποθοῦμεν τὸ καλόν, ποθοῦμεν δὲ καὶ τὸ ἡδύ· συνελθόντα τί ἂν εἴη; τοῦτο, ὅ φησιν, ὁ βίος τερπνότατος. Ὁ γὰρ τὸ ἡδὺ μετὰ τοῦ αἰσχροῦ ἑλόμενος, εἰ καὶ πρὸς ὀλίγον δελεασθείη τῷ

μόνον; S μον. — 1. κατωρθωμένος] MS; κατορθούμενος GC. — 1. ἥδιστος] M. G; male Curt. ἥδυστος. — 2. πράξομεν] Ita Needhamius e Codd. Gall. S et Med. pro vulgato πράξωμεν, quod defendit Ashtonus. At si conjunctivum propter illud quod paulo inferius legitur ἀκούσωμεν similesque locos praefers, non οὐδέποτε, quae Gallicarum membranarum scriptura est, sed μηδέποτε requiritur, quod exstat in Cod. Med. — 9. ἡμᾶς ἐπανάγοντος] Sic correximus e membranis Gallicis, S et V. lectionem Cod. Med. et Curteriani ἡμᾶς καὶ ὑπανάγοντος, quam Ashtonus interpretatur ***sensim reducentis***, id quod ferri non potest. In cod. Gall. quod prius scriptum erat ἡμᾶς ἄγοντος alia manu interpolatur ἡμᾶς ἐπανάγοντος, cujus loco editor Cantabrigiensis temere exhibuit ἡμᾶς ἐπάγοντος. Nam sententia flagitat aut ὑπάγοντος aut ἐπανάγοντος. A: ***ad optima facta nos inducit.*** — 11. παρουσία] vulg; ἡ π. S. — 12. ἐν δὲ τῷ μὴ ἁμαρτάνειν] Codd. G. et A: ***in quibus duobus, non errare scilicet, et recta facere***, uti conjecerat Cas.; vulgo εἰ δὲ τό. — 12. καὶ ἐν τῷ] GC; καὶ ἐν δὲ τῷ M. — 13. τίς δὲ οὗτος, εἰ μὴ μόνος — τὸ ἡδύ] Sic Cod. Med; τίς δὲ οὗτος, ἢ μόνος — τὸ ἡδύ. SCh et Renaudoti liber ap. Dacer. qui exemplaris Medicei scripturam e Salvini collatione esse ait τίς δὲ οὗτος. ἢ μή. Mendosam hanc lectionem ita corrigi voluit Needhamius: τίς δὲ οὗτος; ἢ μὴ μόνος vertens ***quaenam vero ista? nonne ea sola?*** At ἢ μὴ non est ***nonne.*** Aurispa qui interpretatur ***ea certe sola*** procul dubio legit ἢ μὴν μόνος. Vulgata scriptura est: τίς δὲ οὗτος; ὁ ἀπὸ τῆς ἀρετῆς τὸ ἡδὺ κ. τ. λ. — 17. βίος τερπνότατος] Cod. Med; ὁ βίος τερπνότατος GCCh. — 18. τῷ] vulgo; τὸ S.

ἥδοντι, διὰ γοῦν τὸ αἰσχρὸν εἰς μεταμέλειαν ἐπώδυνον ἔρχεται. Ὁ δὲ τὸ καλὸν μετὰ πόνου προτιμήσας, κἂν παραυτίκα τῷ ἀήθει βαρύνηται, ἀλλ' ἡ τοῦ καλοῦ σύζευξις ἐπελαφρύνει τὸν πόνον, καὶ τέλος πρὸς τῇ ἀρετῇ καὶ ἡδονὴν καθαρὰν καρποῦται. Εἰ μὲν γὰρ πράττοιτό τι μεθ' ἡδονῆς αἰσχρόν, ἡ μὲν ἡδονὴ παρῆλθε, τὸ δὲ αἰσχρὸν μένει· εἰ δὲ πράττοιτό τι μετὰ πόνου καλόν, ὁ μὲν πόνος παρῆλθε, τὸ δὲ καλὸν μένει. Ἐξ ὧν λυπηρότατον ἀνάγκη εἶναι τὸν κάκιστον β ί ο ν· τ ε ρ π ν ό τ α τ ο ν δέ, τὸν ἄριστον. Καὶ ταῦτα μὲν περὶ τούτων. Ἐπεὶ δὲ καὶ ἡ τοῦ σώματος παιδαγωγία πρὸς τὴν τῆς ψυχῆς τελείωσιν τὴν ἀναφορὰν ἔχει, ὅρα ἑξῆς τί ἐπάγει·

XVI. 32—34.

Οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή·
ἀλλὰ ποτοῦ τε μέτρον καὶ σίτου γυμνασίων τε
ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ', ὃ μή σ' ἀνιήσει.

Τὸ θνητὸν σῶμα, πρὸς τὴν ἐπὶ γῆς διαγωγὴν ὄργανον ἡμῖν
pag. 136. δοθέν, οὔτε πιαίνειν προσήκει ταῖς ἀμέτροις σωμασκίαις, οὔτε κατατρύχειν ἐνδείας ὑπερβολαῖς. Ἐμπόδιον γὰρ ἐπίσης ἑκάτερον, καὶ ἀναιρετικὸν τῆς χρείας αὐτοῦ προσγέγονε. Διὸ μετρίως θεραπεύειν αὐτό, καὶ μὴ περιορᾶν ἐξυβρίζον, ἢ ὑπὸ νοσημάτων ἐνοχλούμενον, ὁ λόγος παραινεῖ· ὅπως ἂν ἐν τῷ κατὰ φύσιν σωζόμενον ἀπαραποδίστως τῇ ἡγουμένῃ ψυχῇ τὰς ἐνεργείας αὐτοῦ παρέχηται, ταύτῃ δυνάμενον ἄγεσθαι, ᾗ ἂν ἐκείνη ἄγῃ.

2. πόνου] Curt; πόνων GMS. — 3. βαρύνηται] vulg; βαρύνεται S. — 3. ἐπελαφρύνει] M. G; vulg. ἐλαφρύνει. cf. pag. 78. — 5. πράττοιτό τι] G. et Curt; πράττοιτο MS. — 6. τὸ δὲ αἰσχρὸν] Cod. Med. S et Ipl. libr. Gall; vulgo κακὸν quod rejiciendum. Aurispa vertit *turpitudo*. Sumpsit haec verba Hierocles a Musonio, cujus effatum servavit Gellius lib. XVI, 1 ἄν τι πράξῃς καλὸν μετὰ πόνου, ὁ μὲν πόνος οἴχεται, τὸ δὲ καλὸν μένει. ἄν τι ποιήσῃς αἰσχρὸν μετὰ ἡδονῆς. τὸ μὲν ἡδὺ οἴχεται, τὸ δὲ αἰσχρὸν μένει. — 6. εἰ δὲ — καλὸν μένει] Codd. G, in margine recentiore manu et R. Haec verba desunt in libb. vulg. et apud Aur; Cod. Med. habet εἰ δὲ πράττοι τὸ μετὰ πόνου, reliqua autem ut G. — 13. ὑγιείης] vulg; ὑγιείας S. — 15. τε ποιεῖσθαι] MC; πεποιῆσθαι G. — ἀνιήσει] vulg; ἀνιήσῃ S. — 15. πιαίνειν] vulg; ἐπιαίνειν S. — 17. προσήκει] G. et Curt; δεῖ M. — 18. ἐπίσης] G. M; ἐπ' ἴσης Curt. — 20. μὴ] GC; om. M. — 22. ἀπαραποδίστως] Curter; ἀπαραποδίστους GS. ἀπαραπόδιστον Cod. Med. — 23. ἄγῃ] GC; ἄγοι M.

Τὸ γὰρ χρώμενον ἡ ψυχή, τὸ δὲ ᾧ χρῆται, τὸ σῶμα, οὗ τὴν ἐπιμέλειαν ἔχειν δεῖ τὸν τεχνίτην. Οὐ γὰρ χρῆσθαι δεῖ μόνον ἐθέλειν αὐτῷ, ἀλλὰ καὶ ὅπως εὖ ἔχον ἡμῖν ὑπηρετῆται, τὴν ἐνδεχομένην ποιεῖσθαι πρόνοιαν. Ἐπεὶ δὲ ἡ φύσις αὐτοῦ ἐν γενέσει καὶ φθορᾷ συνεχεῖ καθέστηκε, καὶ πλήρωσις καὶ κένωσις αὐτὸ τιθηνοῦσι, νῦν μὲν τροφῆς τὸ ἀποῤῥέον ἀναπληρούσης, νῦν δὲ γυμνασίων τὸ πλεονάζον ὑπεξαιρούντων· μέτρον ἐπιστῆσαι δεῖ τῇ τῶν εἰςαγομένων πληρώσει, καὶ τῇ τῶν διαφορούντων κενώσει. Τὸ δὲ μέτρον ἐστὶν ὁ λόγος ὁ συναρμόζων τὴν τοῦ σώματος ἕξιν ταῖς διανοητικαῖς ἐνεργείαις τῆς ψυχῆς, καὶ διὰ τοῦτο τῆς τῷ φιλοσόφῳ πρεπούσης ὑγιείας ἐπιμελούμενος. Οὗτος οὖν γυμνάσια καὶ τροφὰς ἐκλέξεται, ἃ ἂν μὴ πιαίνῃ πρὸς ὑπερβολὴν τὸ σῶμα, μηδ' ὑπέρτερον αὐτὸ τῶν νοερῶν κινήσεων ἀπεργάζηται. Οὐ γὰρ σώματος ἁπλῶς ἐπιμελεῖται, ἀλλὰ σώματος διανοίᾳ ὑπηρετουμένου. Ὅθεν τὴν ἀθλητικὴν ἀγωγὴν παραιτήσεται, ὡς ἄνευ ψυχῆς σῶμα θεραπεύουσαν· καὶ πᾶσαν τὴν λεγομένην σωμασκίαν φεύξεται, ὡς ἐπανισταμένην τῷ νοερῷ φωτὶ τῆς ψυχῆς. Ὅση

3. ἀλλὰ καὶ ὅπως] Codd. Gall. et M; vulgo ἀλλ' ὅπως. — 3. ὑπηρετῆται] M; ὑπηρετεῖται G. — 4. δὲ] G. et Curt; οὖν. — 6. τιθηνοῦσι — ἀποῤῥέον] Codd; nonnullae edd. male τιθήνουσι — ἀποῤῥέων. — 7. ὑπεξαιρούντων] vulgo; ὑπεξαιρόντων S. — 8. εἰςαγομένων] Cod. Med; vulgo cum S εἰςαγωγίμων. Sunt autem τὰ εἰςαγόμενα cibus et potus sive τροφή i. e. alimentum corpori ingestum. Sic Porphyr. de abstin 1, 47 τὸ πλῆθος τῶν εἰςαγομένων εἰς τὸ σῶμα. Contra τὰ εἰςαγώγιμα vocantur *aliunde importata et peregre accita* Aristot. Rhet. I, 17 ἔτι δέ, περὶ τροφῆς, πόση δαπάνη ἱκανὴ τῇ πόλει, καὶ ποία ἡ αὐτοῦ τε γιγνομένη καὶ εἰςαγώγιμος, καὶ τίνων τ' ἐξαγωγῆς δέονται, καὶ τίνων εἰςαγωγῆς. Quare Pollux 9, 22 τὰ εἰςαγώγιμα σιτία esse ait ἐπεισάκτους τροφάς. Caeterum τὰ διαφοροῦντα sola intelligit γυμνάσια atque eam quae illorum ope fit concoctionem et alvi exinanitionem. — 11. τοῦτο] Curt. et M; τούτου G. — 11. τῆς] G; τοῖς Curt. — 13. πιαίνῃ] Cod. Med. et S; vulg. πιαίνει. Addidi autem ἂν quod sententia desiderat. — 13. ὑπέρτερον — ἀπεργάζηται] Cod. Med; vulgo male ὑπὲρ μέτρον — ἀπεργάζεται cujus loco Curter. frustra ἀπείρξεται reponere tentabat. S. ὑπέρτερον — ἀπεργάζεται. Corpus non ita curandum esse dicit Hierocles, ut animi motibus superius fiat atque in eos dominetur quibus servire (ὑπηρετεῖν) debet, siquidem animi est καθυπερτερεῖν τοῦ σώματος, ut ait Antonin. VIII, 8. Aur. liberius vertit: *neque ultra modum mentem impediant.* Itaque quid ille legerit incertum est. — 14. νοερῶν] G. et Curt; νοητῶν M. — 18. ἐπανισταμένην] G; ἐπανιστάνειν M. 1. 2. V.

pag. 138. δὲ τῇ περὶ τὰ μαθήματα θεωρίᾳ καὶ τῇ περὶ τὰς καλὰς πράξεις αὐτουργίᾳ ὑπηρετεῖσθαι δύναται τῇ τοῦ σώματος εὐεξίᾳ, ταύτην περιποίησει ἑαυτῷ ὁ τὸν τοῦ φρονεῖν βίον ἑλόμενος. Πρὸς τοῦτον γὰρ εἴρηται τὸ, μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσει. Σέ, φησί, τὸν ὄντα λογικὴν ψυχήν, μὴ βλαπτέτω τὸ μέτρον τῆς τοῦ σώματος ἐπιμελείας· σέ, τὸν τῶν προτέρων παραγγελμάτων φύλακα, τοιαῦτα σιτία, καὶ ποτά, καὶ γυμνάσια, ἐκλέγεσθαι χρή, ἃ τὸ σῶμα πειθήνιον πρὸς τὴν τῶν ἀρετῶν χρῆσιν ἀπεργάζεται, ἃ μὴ ἐκφέρει τὸ ἄλογον πρὸς ἀφηνίασιν τοῦ ἡγεμονοῦντος λόγου. Μετὰ πλείστης δὲ προσοχῆς ποιεῖσθαί σε δεῖ τὴν παραμέτρησιν τῆς ἐπιμελείας τοῦ σώματος, ὡς καὶ τῶν τούτου παραλόγων κινημάτων τὴν αἰτίαν ὑφέξοντα. Βρίθει γὰρ ὁ τῆς κακίας μετέχων ἵππος, οὐχ ἁπλῶς, ἀλλ' ὅτε μὴ καλῶς εἴη τεθραμμένος ὑπὸ τῶν ἡνιόχων. Ἐν δὲ τῷ μέτρῳ, τῷ περὶ τὸ σῶμα, τὸ ποτὸν τοῦ σιτίου προέταξεν, ὅτι μᾶλλόν ἐστι δυσφύλακτον,

1. καλὰς πράξεις] G. Curter. et A: *et bonorum operum perfectionem.* Vulgo καλὰς τάξεις. — 2. τῇ τοῦ σώματος εὐεξίᾳ] Codd. Gall. [in margine eadem manu, deleto quod in textu fuerat εὐταξίᾳ] et Aurispa, qui tamen initio hujus enuntiati non ὅσῃ legit, sed ὅσον *quantum*. Nihil autem mutandum. Nam quod Davisius apud Needhamium conjecit ὅσῃ — ἡ τοῦ σώματος εὐεξία quicunque bonus corporis habitus, ne graecum quidem est, quia ὅση articulo ἡ adjuncto dici non potest. Sensus est quem expresserunt Dacerius et Ashtonus: ὅσῃ δὲ (ἀγωγῇ) τῇ περὶ — δύναται τῇ τοῦ σώματος εὐεξίᾳ (i. e. διὰ τῆς εὐεξίας) quicunque vero victus bonum corporis habitum efficiendo artium studiis et honestarum actionum exercitationi servire possit, eum ille adhibebit, qui prudenter vitam suam instituere vult. — 3. περιποίησει] vulg; περιποιήσειεν Vat. — 3. ἑαυτῷ] M; αὐτῷ V. ἐν αὐτῷ Ipl. G. — 4. γὰρ] G. et Curt; δὲ M; om. S. — 4. εἴρηται τὸ, Μέτρον —] Cod. Med; τὸ omittunt reliqui codd. — 5. ἀνιήσει] vulg; ἀνιήσῃ S. — 6. τὸν] M. et Curt; om. GS. — 8. χρὴ] G. et Curt; δεῖ M. — 9. ἀπεργάζεται] Curt; ἀπεργάσεται GMSV. — 9. ἐκφέρει] Curt; ἐκφέρειν G; ἐκφέρῃ M. ἐκφέρειν τι S. — 11. ποιεῖσθαί σε δεῖ] GM; vulgo ποιεῖσθαί δεῖ. — 12. παραλόγων] Cod. M. 1. 2. VΣ et Ipl. Gall. [ubi scriptum fuerat παραγόγων]; vulgo παραγωγῶν, cujus loco Needhamius habet παραγώγων. S. παράλογ᾽. A: *malarum affectionum.* — 13. αἰτίαν ὑφέξοντα] GSV. quod refertur ad σε; male vulg. ὑφέξουσαν, nec melius ὑφέξον in Aurispae codice, qui ad corpus refert: *ab hoc enim nascitur causa malarum affectionum.* Σ. ὑφέξονται. Caeterum pro αἰτίαν Cod. Med. exhibet λόγον; item ὑφέξοντα ut G. — 13. βρίθει γὰρ κ. τ. λ.] Verba μετέχων et ὑπὸ, quae in codd. desunt, e Plat. Phaedro p. 247 adjecit N. Platonis locum multi imitati sunt, de quibus vid. Wyttenb. Epist. cr. Opusc. I p. 52. — ὅτε] vulg; ὅτῳ S. Σ. V.

καὶ εὐόλισθον εἰς κατάποσιν, καὶ παρακινητικὸν τῆς τοῦ σώματος εὐεξίας. Λάθοι γὰρ ἄν τις πολλαπλάσια τοῦ μέτρου πιὼν μᾶλλον ἢ φαγών. Τὰ δὲ γυμνάσια τρίτα τέτακται, ὡς ἐπανορθούμενα τὴν ἀπὸ τῆς τροφῆς πλήρωσιν, καὶ πάλιν πρὸς τὸ ὑγιεινῶς τρέφεσθαι παρασκευάζοντα. Κύκλῳ γὰρ οἷον ἀνταποδίδοται ταῦτα ἀλλήλοις, τροφή, καὶ γυμνάσιον· καὶ γυμνάσιον, καὶ τροφή. Χορηγία γὰρ τοῦ μὲν δύνασθαι γυμνάζεσθαι τὸ εὖ τεθράφθαι, τοῦ δὲ εὐεκτικῶς τρέφεσθαι, τὸ γεγυμνάσθαι συμμέτρως. Μέτρον δὲ τούτων ἄλλο ἄλλῳ, πρὸς τὸ οἰκεῖον ἐπιτήδευμα τῆς τοῦ σώματος ἐπιμελείας ἑκάστῳ τεινούσης. pag. 140. Πᾶς γὰρ τῆς ἑαυτοῦ προαιρέσεως ὄργανον αὐτὸ ποιεῖσθαι σπουδάζει· ὁ μὲν παλαιστρικὸς τῶν περὶ πάλην κινημάτων· ὁ δὲ γεωργικὸς τῶν περὶ γεωργίαν πόνων· καὶ ἄλλος πρὸς ἄλλο ἕλκει καὶ μεθαρμόζεται τὴν τοῦ σώματος ὑπουργίαν. Τί οὖν ὁ φιλόσοφος; Πρὸς τί βλέπων ἐθελήσει τὸ σῶμα παιδαγωγεῖν; καὶ τίνος ὄργανον αὐτὸ σπουδάσει ποιήσασθαι, ἢ δῆλον ὅτι, φιλοσοφίας καὶ τῶν ταύτης ἔργων; Ὡς οὖν οἷόν τε φρονήσεως ὄργανον γενέσθαι τὸ σῶμα, οὕτως αὐτὸ διὰ πάντων θρέψει τε καὶ παιδεύσει, ψυχῆς μὲν προηγουμένως ἐπιμελούμενος, διὰ ταύτην δὲ καὶ τοῦ σώματος. Οὔτε γὰρ προτιμήσει αὐτὸ τῆς χρωμένης, οὔτε παντελῶς ἀμελήσει αὐτοῦ πάλιν διὰ τὴν χρωμένην· ἀλλ' ἐν τάξει τῇ πρεπούσῃ ὡς ὀργάνου ποιήσεται τὴν ἐπιμέλειαν, πρὸς τὴν τοῦ χρωμένου ἀρετὴν καὶ τὴν τοῦ σώματος ὑγίειαν ἀναφέρων. Διὸ οὐ πανταχόθεν αὐτὸ θρέψει, ἀλλ' ἀφ' ὧν δεῖ μόνων. Ἔστι γὰρ ἃ μὴ δεῖ προσφέρεσθαι, ὡς βαρύνοντα τὸ σῶμα, καὶ καθέλκοντα τὸ συμφυὲς πνεῦμα

2. μέτρου] G. et Curt; μετρίου MV. — 3. μᾶλλον] SΣMh; reliqui om. — 5. ἀνταποδίδοται] G. et Curt; ἀνταποδίδονται M. — 6. καὶ] G; vulg. om. — 7. καὶ] MGC; om. S. — 7. χορηγία τοῦ δύνασθαι —, τοῦ δὲ —] Cod. Med; vulgo cum S τῷ δύνασθαι — τῷ δὲ —. — 9. ἄλλο ἄλλῳ] G. et Curt; ἄλλου ἄλλο M. — 11. ἑαυτοῦ] G. et Curt; αὐτοῦ MS. — 11. αὐτὸ] M. et Curt; αὐτῷ G. — 17. ὡς οὖν οἷόν τε] GM. et A: *ut igitur;* vulgo οἱ οὖν οἷόν τε. — 26. καθέλκοντα τὸ συμφυὲς πνεῦμα τῆς ψυχῆς] Philop. Praefat. in Arist. de Anima ψυχὴ ὄχημα ἔχουσα πνευματικὸν σῶμα. Idem l. c. φροντίζουσιν οἱ σπουδαῖοι τῆς λεπτοτέρας διαίτης διὰ τὸ μὴ παχύνεσθαι τὸ πνεῦμα. Porphyr. de Abstin. II, 38 τὸ συνεχὲς πνεῦμα τῆς ψυχῆς. De hoc quod alibi Hierocles τὸ αὐγοειδὲς τῆς ψυχῆς σῶμα et τὸ πνευματικὸν ὄχημα τῆς ψυχῆς vocat plura in sequentibus disputabuntur.

τῆς ψυχῆς πρὸς ὑλικωτέρας ἐμπαθείας· περὶ ὧν ὕστερον ὁ λόγος φησίν·

'Αλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
Ἔν τε λύσει ψυχῆς κρίνων. —

Τὰ τοιαῦτα οὖν παντελῶς παραιτήσεται· ὧν δὲ ἐξὸν προςφέρεσθαι τὴν ποσότητα καὶ τὸν καιρὸν μέτρησει καί, ὥς φησιν Ἱπποκράτης, ὥρην, καὶ χώρην, καὶ ἡλικίην περιεργάσεται, καὶ πάντα ὅσα τοῦ τοιούτου τύπου· οὐκ ἀνεξετάστως ἐπιτρέπων ἐμπίπλασθαι ὧν ἐξὸν μεταλαμβάνειν, οὐδ' ἀκρίτως νέον καὶ πρεσβύτην ὁμοίως διαιτᾶσθαι, ἢ ὑγιεινὸν καὶ νοσώδη, ἢ ἀρχό-
pag. 142. μενον φιλοσοφίας καὶ εἰς ἄκρον αὐτῆς ἥκοντα. Ταῦτα δὲ πάντα συνείληφε τὸ Πυθαγορικὸν μέτρον, τῇ προσθήκῃ τοῦ, ὃ μή σ' ἀνιήσει. Πάντα γὰρ εἰς τὴν φιλόσοφον εὐζωΐαν συντείνοντα πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν ἐπέτρεψε τῷ βραχεῖ τούτῳ ῥήματι· καὶ τοῖς προειρημένοις περὶ ὑγιείας ψυχῆς ἐπήγαγεν, οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή· ὡς ἐκεῖ μὲν τὴν τοῦ χρωμένου ἀρετὴν παραδίδοσθαι, ἐνταῦθα δὲ τὴν τοῦ ὀργάνου σωτηρίαν. Σύναψον οὖν ταῦτα ἐκείνοις, καὶ εὑρήσεις, ὅστις εἶ ᾧ παραγγέλλεται, τοιοῦτο δεῖν ποιεῖσθαι τὸ μέτρον τῆς περὶ τὸ σῶμα τάξεως, ὃ μή σ' ἀνιήσει, ὃ μὴ ἐμποδιεῖ τὴν φιλόσοφον πρόθεσιν, ἀλλ' ἐπωφελήσει τῇ συνεργίᾳ τὴν πρὸς ἀρετὴν ὁδεύουσαν ψυχήν. Ποτοῦ δὲ καὶ σίτου μέτρον εἶπε, τὰς ὑπερβολὰς καὶ τὰς ἐλλεί-

1. ἐμπαθείας] G. et Curt; συμπαθείας M. — 2. ὧν] G. et Curt; ὧν καὶ M. — 5. ἐξὸν] G. et Curt; ἐξὸν καὶ M. — 7. χώρην, καὶ ἡλικίην] MG. ut ipse Hippocrat. Aphor. Tom. III p. 706 ed. Kühn. nisi quod ibi inverso verborum ordine exstat καὶ χώρην καὶ ὥρην καὶ ἡλικίην. Vulgo χώραν καὶ ἡλικίαν. — 7. περιεργάσεται] MGC; περιεργάσεσθαι V. — 8. τύπου] G. et Curt; τόπου MS. — 8. ἐπιτρέπων ἐμπίπλασθαι] vulgo; ἐπιτρέπει ἐμπίμπλασθαι S. — 10. ἢ] M. et Curt; καὶ G. — 11. καὶ] M. et Curt; ἢ G. sed superscriptum est καὶ ab interpolatore. — 12. τοῦ, ὃ μή σ' ἀνιήσει] Needhamius e libris Gallicis adjecit τοῦ, cui ad integram sententiam efficiendam Ashtonus subjunxit ὃ, quemadmodum alibi apud Hieroclem legimus τοῦ, ἅ σε μὴ βλάψει et τοῦ, ἅ σε μὴ μετέπειτ' ἀνιήσει. Caeterum Curterius pro ἀνιήσει hic habet ἀνιήσῃ cum S. — 13. πάντα γὰρ] vulgo; π. γ. τὰ Ch. — 16. ὑγιείης] vulgo; ὑγιείας S. — 16. περὶ σῶμ'] Codd. N. ut in Carm; vulg. περὶ τὸ σῶμ'. — 19. τοιοῦτο] Curt; τοιοῦτον M. 1. 2. GΣ. — 19. δεῖν] vulgo; δεῖ MhΣ. — 20. σ'] M. et Curt; σε G. — 21. ἀνιήσει] G. Curt; ἀνιάσῃ Med. — 21. τὴν φιλοσοφ.] SMG Curt; art. om. N et Asht. — 21. πρόθεσιν, ἀλλ' ἐπωφελήσει τῇ περιεργίᾳ] SM; vulgo πρόθεσιν, ἐπωφελήσει δὲ τῇ συνεργείᾳ (N. et Asht. συνεργίᾳ). — 23. τὰς

ψεις ἀπαγορεύων, ὁ λόγος, τὸ δὲ μέσον καὶ σύμμετρον ἀσπαζόμενος· ὅθεν καὶ τὸ γαστρὸς κρατεῖν καὶ ὕπνου λαγνείης τε καὶ θυμοῦ εὐκόλως παραγίνεται. Τὸ γὰρ νῦν λεγόμενον μέτρον τὴν ἐν ἐκείνοις ἀμετρίαν κολάζει, καὶ ὑπεξαιρεῖται τὸ λυποῦν καὶ καθέλκον τὴν πρὸς νοῦν καὶ θεὸν ἐπειγομένην ψυχήν. Δεῖ γὰρ αὐτὴν ἀνιοῦσαν πρὸς νοῦν γαλήνην ἔχειν ἀπὸ τῶν παθητικῶν κινημάτων, καὶ τετάχθαι αὐτῇ τὰ κάτω καλῶς πρὸς τὸ ἀθόρυβον τῆς τῶν ἄνωθεν θεωρίας. Τοῦτο ἦν τὸ μέτρον, ὃ μή σ' ἀνιήσει· τοῦτο τὸ κρατοῦν γαστρὸς ἅμα, καὶ τὴν τοῦ ὀργάνου σωτηρίαν ποιούμενον, τὸ ἀρετὴν ψυχῆς ἐπιδεικνύμενον, καὶ τὴν τοῦ σώματος ἕξιν μὴ καταλῦον. Μέρος γὰρ ἀρετῆς ἐστι καὶ τὸ εἰδέναι σώζειν τὸ ὄργανον, καὶ συναρμόζειν αὐτὸ πρὸς τὴν φιλόσοφον χρῆσιν. Ἐπεὶ δὲ οὐ μόνον ἐν τροφαῖς καὶ γυμνασίοις ἐστὶν ἡ τοῦ σώματος θεραπεία, ἀλλὰ καὶ ἄλλων πολλῶν προσδεῖται, οἷον ἱματίων, ὑποδημάτων, pag. 144.
σκευῶν παντοδαπῶν, καὶ τῆς ταῦτα ὑποδεχομένης οἰκίας, δεῖ δὲ καὶ ἐν τούτοις τοῦ μετρίου, ὃ τρυφήν τε καὶ ἀκαθαρσίαν ἐξορίζει τῆς ὅλης ἡμῶν διαίτης· εἰκότως ἐπήγαγεν.

XVII. 35—38.

εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον·
καὶ πεφύλαξό γε ταῦτα ποιεῖν ὁπόσα φθόνον ἴσχει.

ἐλλείψεις] Codd. Gall; vulgo ἐκλείψεις; Med. ἐκλήψεις. — 2. ὕπνου λαγνείης τε] G; ὕπνου καὶ λαγνείης M. — 4. τὴν ἐν ἐκείνοις] G. et Curt; τὴν ἐκείνων M. — 5. πρὸς νοῦν καὶ] καὶ quod deest prioribus edd. addidit Ashtonus, secutus illud Marini in Vit. Procli cap. 24 πρὸς νοῦν καὶ θεὸν ἐνεργεῖν. Idem judicaverat Holstenius. At νοῦν neque in cod. Med. legitur neque in Vindobonensi neque in librls Gallicis, ubi exstat πρὸς τὸν θεὸν, neque in Aurispae interpretatione *diligentem animum ad deum trahit*. Deletum est in VΣ. Sed e sequentibus colligi licet non esse omittendum νοῦν vocabulum. Aut igitur Hierocles scripsit πρὸς νοῦν θεόν, quomodo infra posuit νομοθέτης νοῦς, aut πρὸς νοῦν τὸν θεόν aut quod reliquis locutionibus praestare videtur πρὸς νοῦν καὶ θεόν. — 8. τῆς τῶν ἄνωθεν] G. et A: *ad supernorum considerationem*; vulg. male τῆς ἄνωθεν. — 8. ἦν] G. et Curt; γάρ M. — 9. σ'] M; σε G. — 9. ἀνιήσει] vulg; ἀνιήσῃ S. — 12. ἀρετῆς ἐστι] S; ἐστιν ἀρετῆς vulgo. — 16. καὶ τῆς ταῦτα ὑποδεχομένης οἰκίας] Cod. Med; vulgo cum S καὶ τῆς πάντα ταῦτα [ταῦτα πάντα S] ὑποδεχομένης οἰκήσεως. — 17. δὲ] G; om. M. — 17. τοῦ μετρίου] Codd. GS. et Med; i. e. τῆς μεσότητος ut infra dicit; vulgo τοῦ μέτρου. — 17. τε καὶ] MSV; καὶ G. — 18. ἐξορίζει] G. et Curt; ἐξορίσει MSV. — 21. γε] Curt; om. SMG. — 21. ταῦτα] M. et Curt; τοιαῦτα SG. — 21. ὁπόσα] M. et Curt; ὁπόσον G.

Μὴ δαπανᾶν παρὰ καιρόν, ὁποῖα καλῶν ἀδαήμων·
μηδ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

Οὐ μόνον, φησίν, ἐν σιτίοις καὶ ποτοῖς τὸ μέτρον καλόν, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, ὡς τῶν δι' ὑπερβολὴν καὶ ἔλλειψιν ἁμαρτημάτων καθαρεῦον. Γένοιτο γὰρ ἂν ἐν πᾶσιν οἷς εἴπομεν, ἀμετρία διπλῆ· ἡ μὲν πρὸς τὸ πολυτελὲς ἐξάγουσα, ἡ δὲ πρὸς τὸ ῥυπαρὸν συνωθοῦσα. Ἑκάτερον δὲ μεμπτὸν καὶ οὐ φιλόσοφον ἦθος, οὐδὲ στοχαζόμενον τῆς σωματικῆς εὐμετρίας. Ἐπιτεινομένη γὰρ καθαρειότης θρύψις καὶ βλακεία εὑρίσκεται· ἐπιτεινομένη δὲ λιτότης ἀκαθαρσία καὶ ῥύπος γίνεται. Ἵν' οὖν μήτε ἐκεῖνο πάθωμεν διὰ καθαρειότητα, μήτε τοῦτο διὰ λιτότητα, μέσοι βαίνωμεν, τὰς παρακειμένας ἑκατέρῳ κακίας ἐκκλίνοντες, καὶ τὸ ἕτερον τοῦ ἑτέρου σωφρονισμὸν ποιούμενοι· λιτὴν οὕτως ἐπιτηδεύοντες δίαιταν, ὡς μὴ ἀκάθαρτον, καὶ καθάρειον οὕτως, ὡς μὴ τρυφηλήν. Διὸ τὸ μέτρον προτιμήσωμεν ἐν πάσῃ τῇ περὶ τὸ σῶμα κατασκευῇ, ἱμάτιον ἐκλεγόμενοι καθάρειον, ἄθρυπτον· οἶκον ὁμοίως pag. 146. καθάρειον, ἄθρυπτον· καὶ πᾶν ὁτιοῦν τῶν περὶ τὸ σῶμα καθάρειον, ἄθρυπτον ἔχειν ἐθέλοντες. Πρέπει γάρ, λογικῆς ψυχῆς τοῦ σώματος ἡγουμένης, καὶ τὰ περὶ τὸ σῶμα πάντα συντετάχθαι πρὸς τὸν ἡγούμενον λόγον, ὅστις οὔτε τρυφῆς, οὔτε ἀκαθαρσίας ἀνέξεται, τῇ κατ' αὐτὸν ἀξίᾳ πάντα λογιζόμενος δεῖν εἶναι σύμμετρα. Ἵν' οὖν μὴ περιέλκοιτο πρὸς

2. μέτρον] G. et Curt; τὸ μέτρον M. — 3. ποτοῖς τὸ μέτρον] Ipl. Codd. G. et Med; reliqui omittunt articulum. — 5. γὰρ] M; om. G. — 6. ἀμετρία διπλῆ] Cod. Med; vulgo ἀμετρία πολλή. — 6. πολυτελὲς] M. et Curt; λυσιτελὲς G. — 8. εὐμετρία] G. et Curt; συμμετρία M. — 9. βλακεία] Cod. Med. 1. 2 SΣ et G. in margine; vulgo μαλακία sensu eodem, apud istius aetatis scriptores. Hesych. βλακεία, μαλακία. Damascius de Isidoro ap. Phot. Cod. 242 τὴν τροφὴν ἐκληρώσατο μετρίαν τινὰ καὶ ἄθρυπτον, οὔτε κακουργοῦσαν διὰ πενίαν, οὔτε διὰ πλοῦτον βλακεύουσαν. ἀλλὰ μέσην, τὸν Δώριον τρόπον κ. τ. λ- Niceph. Greg. p. 149. C. πολλαῖς ταῖς τῶν χρημάτων τρυφαῖς καὶ βλακείαις, Idem p. 712 B: διὰ τρυφὴν καὶ βλακείαν. — 12. ἑκατέρῳ] codd; ἑκατέρωθεν male conj. Holst. — 16. προτιμήσωμεν] G; προτιμήσομεν M. — 17. οἶκον ὁμοίως καθάρειον, ἄθρυπτον·] M; vulgo haec verba desiderantur. — 22. λογιζόμενος δεῖν εἶναι] G; vulgo δεῖν εἶναι λογιζόμενος. — 23. πρὸς κτῆσιν] G. et M; vulg. τὴν κτίσιν, cujus loco Curter. malebat χρῆσιν vel ἕξιν. Aurispa vertit: *ut ad delicias non trahatur, parcam vitam exercet.*

κτῆσιν τῶν πολυτελῶν, τὸ ἄθρυπτον ἐπιτηδεύει· ἵνα δὲ μὴ ῥύπῳ καὶ ὑλικῇ ἀμορφίᾳ συνοικοίη, τὸ καθάρειον ἐκλέγεται. Οἷον, ἱμάτιον οὐ λεπτὸν μέν, καθάρειον δέ· σκεύη οὐ χρυσᾶ, οὐδὲ ἀργυρᾶ, ἀλλ' ἐκ τῶν εὐπορίστων ὑλῶν καθάρεια· οἰκίαν οὐ πολυτελέσι λίθοις κατηνθισμένην, οὐδὲ περιττῶς εἰς κάλλος καὶ μέγεθος ἐξειργασμένην, ἀλλὰ σύμμετρον τῇ τοῦ σώματος χρείᾳ, καθάρειον δέ· καὶ ὅλως παρὰ πᾶσαν τὴν δίαιταν τὸ μὲν τρυφηλόν, ὡς ἔξω τῆς χρείας, ἀρνεῖται· τὸ δὲ καθάρειον, ὡς μάλιστα τὴν χρείαν ἀποπληροῦν, ἐγκρίνει. Καὶ γὰρ ἱμάτιον, καὶ οἶκος, καὶ σκεῦος ἅπαν, τότε τὴν αὐτοῦ χρείαν καλῶς παρέχεται, ὅταν σύμμετρον ᾖ καὶ καθάρειον. Τί γὰρ μεγάλου δεῖ πίνακος εἰς μικρὸν ὄψον; τί δὲ ῥυπαροῦ, μέλλοντος ἀφανιεῖν τὸ ὄψον; Οἴκου δὲ μεγάλου τί δεῖ τοῖς μέλλουσιν ἐν μιᾷ γωνίᾳ αὐτοῦ κεῖσθαι; τί δὲ ἀκαθάρτου, τὴν τῆς οἰκήσεως χρείαν οὐ παρέχοντος; Τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων εὑρήσεις ἑκατέρωθεν ἄχρηστον ὄν, τὸ μὴ μετὰ τοῦ ἀτρύφου καθάρειον· ἅμα γὰρ ὑπερέβης τὸ μέτρον τῆς χρείας, καὶ εἰς τὸ ἄπειρον προῆλθες τῆς ἐπιθυμίας. Διὸ πάντα τὰ περὶ τὸν βίον μετρείσθω σοι ταῖς μεσότησι ταῖς διαφευγούσαις τὰς παρακειμένας κακίας. Εἰθίζου δὲ δίαιταν ἔχειν, φησί, καθάρειον· pag. 148. εἶτα ὁρῶν τὴν εἰς τρυφὴν ἔκπτωσιν, προσέθηκεν ἄθρυπτον· καὶ εἰ ἄθρυπτον προειρήκει, εἶδεν ἂν καὶ τὴν εἰς ῥύπον ἀπόπτωσιν, καὶ ἐπήγαγε καθάρειον· ἀεὶ τοῦ πτώματος ἀνέχων

1. ἄθρυπτον] M; vulgo ἄτρυφον. — 2. συνοικοίη] M; συνοικῇ G. — 2. ἐκλέγεται] G. et Curt; λέγεται M. — 3. οὐ χρυσᾶ] vulgo; ὁ χρ. S. — 4. εὐπορίστων] vulgo; εὐποριστοτέρων S. — 7. χρείᾳ, καθάρειον δέ] Sic recte distinxit B; vulgo χρείᾳ, καθάρειον δὲ ὅλως παρὰ. Aurispa: ***sed aptum usui corporis humani. In omni modo vivendi***. — 7. καὶ ὅλως] Cod. Med. 1. 2. et S; in reliquis καὶ desideratur. Pro παρὰ πᾶσαν Ashtonus non male conjecit περὶ πᾶσαν. — 8. ἀρνεῖται] Codd; in Σ superscriptum ἀνεῖται. — 9. ἐγκρίνει] vulgo; ἐκκρίνει S. — 11. ὅταν] G. et Curt; ὅτε M. — 11. σύμμετρον ᾖ καὶ κ.] vulgo; σύμμετρόν τε ᾖ καὶ κ. V. — 11. καὶ καθάρειον] G; vulgo καὶ τὸ καθάρειον; sed καθαρὸν MS. — 12. δεῖ] MG; vulgo δεῖται. — 13. οἴκου δὲ μεγάλου τί δεῖ —] Cod. Med; vulgo cum S οἴκου δὲ ὑπὲρ τὴν χρείαν τί δεῖ. — 14. κεῖσθαι] vulgo; κείσεσθαι V. — 17. ὑπερέβης — προῆλθες] Mds; vulg. ὑπερέβη — προῆλθε. — 18. μετρείσθω] Cod. Med; μεμετρήσθω vS. — 20. κακίας] Emend. Curter: cf. p. 144 μέσοι βαίνωμεν, τὰς παρακειμένας ἑκατέρῳ κακίας ἐκκλίνοντες. Vulgo αἰτίας. — 20. δὲ] vulg; om. S. — 22. εἰ] G. et Curt; ἢ M. — 22. εἶδεν ἂν καὶ τὴν —] Cod. Med; reliqui καὶ omittunt. εἶδεν καὶ S, εἶδε καὶ τὴν VMh. Curter. legit: ἐπειδὴ εἶδεν ἄν. — 23. καὶ ἐπήγαγε] GM; vulg. deest καί.

τῇ τοῦ ἑτέρου πρὸς τὸ ἕτερον ἀντιθέσει, ἵν' ἐξ ἀμφοτέρων ἀνδρώδης ἡ δίαιτα ᾖ, καὶ λογικῷ ζώῳ πρέπουσα. Οὕτω δὲ τάξαντες τὸν βίον, καὶ ἄλλο τι ἑπόμενον μέγα ἀγαθὸν ἕξομεν. Τὸν γὰρ ἐπιφυόμενον τοῖς ὑπερβάλλουσι φθόνον διαφύγοιμεν ἄν, τῷ μηδὲν ἄγαν οὐ κινοῦντες καθ' ἡμῶν αὐτῶν τοὺς συμπολιτευομένους, ὥστε νῦν μὲν νεμεσᾶν, ὡς τρυφῶσιν ἡμῖν, νῦν δὲ μέμφεσθαι, ὡς ῥυπῶσι· καὶ ὁτὲ μὲν ὡς ἀσώτοις ἐγκαλεῖν, ὁτὲ δὲ ὡς μικρολόγοις. Πᾶσι γὰρ τοῖς τοιούτοις ἕπεται παρὰ τῶν συζώντων ἡ ἐπὶ τῇ ἀμετρίᾳ μέμψις. Τοῦτο γὰρ νῦν ὁ φθόνος δηλοῖ, ἵν' ᾖ τὸ λεγόμενον, πεφύλαξο τοιαῦτα ποιεῖν, ὁπόσα φθόνον ἴσχει, ἤγουν μέμψιν εὔλογον ἔχει παρὰ τῶν πολλῶν. Μεμπτὰ δέ, κατὰ τὸν λόγον καὶ τοὺς πολλούς, ἐν μὲν τῇ διαίτῃ τρυφὴ καὶ ῥύπος, ἐν δὲ τῇ δαπάνῃ χρημάτων, ἀσωτία καὶ μικρολογία. Διὸ ἐλευθεριότης καὶ συμμετρία δεικνύτω διὰ τῶν ἐκτὸς πάντων τὴν ἔμφρονα τῆς ψυχῆς ἕξιν καὶ τὸ μέτρον τὸ ἐπὶ πᾶσιν ἄριστον. Δεῖ γάρ, ὅσον ἐφ' ἡμῖν, τῶν ἐπιφθόνων ἀπέχεσθαι τὸν ἡσυχίας ἐρῶντα, καὶ μὴ ἐρεθίζειν, ὥσπερ τι θηρίον, τὸν φθόνον, ἵν' ἀθορύβως ἐξῇ προκόπτειν ἐν τοῖς καλοῖς. Ἀνεπίφθονον δὲ ζωὴν ἐπιτηδεύσομεν, λιτὴν καὶ ἄῤῥυπον δίαιταν ἔχοντες, καὶ τὸν τῆς ἀπειροκαλίας τῦφον ἐκκλίνοντες, ἐξ οὗ ἀπο-
pag. 150. βλαστάνει δύο κακά, δαπάνη τε, καὶ φειδὼ χρημάτων ἄκαιρος· ὧν τὸ μὲν εἰς ὑπερηφανίαν διαβάλλεται, τὸ δὲ εἰς μικροπρέπειαν. Ἑκάτερον δὲ τούτων ἡ ἐλευθεριότης ἐκφεύγει, ἀρετὴ περὶ χρημάτων δόσιν καὶ λῆψιν ὑπάρχουσα, καὶ τὸ δέον ἐν προσόδοις καὶ δαπάναις εὑρίσκουσα, καὶ πρὸς τὸν ὀρθὸν λόγον

2. οὕτω δὲ] Cod. Med; vulgo οὕτω δὴ legitur. — 5. ἄγαν οὐ κινοῦντες] G in marg.; vulg. male ἄγαν κινοῦντες. A: ***si nihil nimis fecerimus.*** — 10. δῆλοι] Ipl. G; δῆλον Curt. — 10. λεγόμενον] vulgo; λεγόμενον τοῦτο S. V; λ. τοιοῦτον M. 1. 2. — 10. τοιαῦτα] G et Curt. cf. carminis verba p. 144. — 11. φθόνον] G et Curt; om. M. φθόνον — ἤγουν om. SΣ M2. — 13. δαπάνῃ] G et Curt; χρήσει M. σπάνῃ S. — 14. μικρολογία] G et Curt; σμικρολογία M. — 15. διὰ τῶν ἐκτὸς πάντων] Curt; διὰ om. M; ἐκ παντὸς G. — 15. τῆς ψυχῆς ἕξιν] emend. Curter; A: ***animi habitum.*** Vulgo cum S inepte κτῆσιν; Hc. κρίσιν. — 19. ἐν] v; om. S. — 20. ἐπιτηδεύσομεν] Cod. Med. et Aurispa qui interpretatur: ***vitam vero sine invidia pertransiemus.*** Sv ἐπιτηδεύσωμεν. — 20. ἄῤῥυπαν] v; ἄρυπον S. — 23. ὑπερηφανίαν] v; ὑπερηφάνειαν S. — 26. προσόδοις] v ΣMh; προσώποις SV. — 26. πρὸς τὸν ὀρθὸν λόγον — συντάττουσα] Cod. Med (nisi quod κατὰ τὸν ὀρθὸν λ. praebet) et Interpolator Cod. Gall. qui in textu libri invenerat

πάντα τὰ ἐκτὸς συντάττουσα. Τοσαῦτα καὶ περὶ τῆς τοῦ σώματος καὶ περὶ τῆς τῶν ἐκτὸς ἀρίστης χρήσεως πεφιλοσόφηται ἐν τοῖς Ἔπεσιν, ὅπως ἂν καὶ διὰ τούτων τὸ τῆς ἀρετῆς διαφαίνηται κάλλος· κεφάλαιον δὲ τῶν πάντων ποιεῖται τὸ ἑξῆς παράγγελμα.

XVIII. 39.

πρῆσσε δὲ ταῦθ' ἅ σε μὴ βλάψει, λόγισαι δὲ πρὸ ἔργου.

Πολλάκις ἐχρήσατο τῷ τοιούτῳ λόγῳ, ὁτὲ μὲν εἰπών,

Ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσει·

ὁτὲ δέ,

— Μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσει.

καί, Μηδείς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ
Πρῆξαι, μηδ' εἰπεῖν, ὅ, τι τοι μὴ βέλτερόν ἐστι.

Τούτων οὖν ἁπάντων σύνοψιν ἐνταῦθα καὶ μίαν συγκεφαλαίωσιν ὁ λόγος ποιεῖται, ἀπαγορεύων μὲν τῶν βλαβερῶν τὴν παραδοχήν, τῶν δὲ ἐπωφελῶν εἰσηγούμενος τὴν ἐνέργειαν· γίνεσθαι δὲ καλῶς τὴν τούτων διάκρισιν ἐν τῷ λογίζεσθαι πρὸ ἔργου τί πρακτέον, καὶ τί μὴ πρακτέον. Ὁ γὰρ τῆς εὐβουλίας καιρὸς ἐν τῷ ἀπρολήπτῳ τῶν πράξεων παραγίνεται. Κἀνταῦθα δὲ πάλιν τοῦ ἅ σε μὴ βλάψει οὕτως ἀκουσόμεθα, ὡς καὶ τοῦ, ἅ σε μὴ μετέπειτ' ἀνιήσει· τὸ σὲ κατὰ τοῦ ὄντως

συνάγουσα, in margine vero συνάπτουσα. A: ***atque omnia quae extra sunt rectae rationi subordinat.*** Non bene vulgo πρὸς τὸν — λόγον — συνάπτουσα. Supra Hierocles συντετάχθαι πρὸς τὸν ἡγούμενον λόγον et (ἡ σωματικὴ φύσις) πρὸς τὴν τῶν λογικῶν οὐσιῶν ἡγεμονίαν συντεταγμένη. — 1. περὶ τῆς τοῦ σώματος —] Sic recte edidit Curterius (Paris 1583) e codd. Gall. qua editione neglecta Needhamius Londinensem multis locis mendosam secutus exaravit hic περὶ τῆς σώματος. Sed articulus τοῦ omitti non potest. Cod. Med. et S tantum habent τοσαῦτα περὶ τοῦ σώματος καὶ τῆς τοῦ [τῶν S] ἐκτὸς κ. τ. λ. — 2. τῶν ἐκτὸς — καὶ διὰ τούτων] G. et A; vulgo τοῦ ἐκτὸς omisso καὶ. — 4. πάντων] G. et Curt; λόγων M. — 6. σε μὴ] M. et Curt; μή σε G. — 6. λόγισαι] v; λόγησαι S. — 7. πολλάκις — λόγῳ om. S. — 8. Omnia inde ab ἀλλὰ τάδ' usque ad βέλτερόν ἐστι desunt in Cod. Med. — 10. ἀνιήσει] v; ἀνιήσῃ S. — 11. μήτε λόγῳ — μήτε τι ἔργῳ] Curt; om. GS. — 14. λόγος ποιεῖται] SΣMh; ποιεῖται vulgo post σύνοψιν ponitur. — 19. ἅ σε μὴ βλάψει — ὡς καὶ τοῦ] Codd. GM. et R. Vulgo omnia desunt a τοῦ usque ad τοῦ. A: ***et hic iterum sic intelligendum est, quae tibi non noceant, veluti illud, quae postea tibi molestiam non inferant.*** — 19. οὕτως ἀκ.] M; οὐ ἀκουσόμεθα S. v. om. — 20. ὄντως ἀνθρώπου] Corr. Cas; Codd. ὄντος; sed Med. et S. ὄντος ἀνθρωπίνου non male.

ἀνθρώπου καὶ τῆς λογικῆς οὐσίας τάττοντες, καὶ κατὰ τοῦ φιλο-
pag. 152. σοφεῖν προῃρημένου, καὶ τὴν πρὸς θεὸν ὁμοίωσιν κτήσασθαι σπεύδοντος. Τοῦτον δὲ βλάπτει πᾶν τὸ παρὰ τὸν ὀρθὸν λόγον, πᾶν τὸ παρὰ τὸν θεῖον νόμον, πᾶν τὸ τὴν πρὸς θεὸν ὁμοίωσιν ἐμποδίζον. Πέφυκε δὲ τὰ τοιαῦτα ἡμῖν ἐπιτίθεσθαι ἐν τῇ κοινωνίᾳ τῶν συζώντων, καὶ τῇ διοικήσει τοῦ τε συνεζευγμένου σώματος, καὶ τῶν πρὸς βοήθειαν ἐξευρημένων τὴν τούτου· ἃ δὴ χρήματα καλεῖν ἔθος, ὡς πρὸς τὴν χρείαν ἐκκείμενα. Διευλαβεῖσθαι οὖν χρῆναί φησιν ὁ λόγος τὸν ἐρωτικὸν τῶν θείων ἀγαθῶν, μήποτε ἀναπεισθῇ πρᾶξαί τι ὃ μὴ βέλτερον αὐτῷ, καὶ ὅπως μὴ χαρίσηται τῷ σώματι, ἐξ ὧν αὐτὸς ἀνιάσεται, μηδὲ προσδέξηταί τι βλάπτον τὴν φιλόσοφον ὁρμήν, ἐφ᾽ ᾧ μικρὸν ὕστερον μεταμελήσεται. Ταῦτα γὰρ πάντα τῷ προλογισμῷ διωθεῖσθαι ἡμᾶς προσήκει, ἵν᾽ ὁ ἐπιλογισμὸς τῶν εἰργασμένων ἡμῖν ἡδίστην ἔχῃ τὴν ἀνάμνησιν, ἣν ἑξῆς ποιεῖσθαι παρακελεύεται.

XIX. 40 – 44.

Μηδ᾽ ὕπνον μαλακοῖσιν ἐπ᾽ ὄμμασι προσδέξασθαι,
πρὶν τῶν ἡμερινῶν ἔργων λογίσασθαι ἕκαστον·

1. τὴν] v; om. S. — 3. βλάπτει] MG in margine βλάπτειν; vulgo βλέπειν. — 3. Verba ὀρθὸν λόγον πᾶν τὸ παρὰ τὸν om. M. — 4. τὸ τὴν πρὸς θεὸν ὁμοίωσιν ἐμποδίζον] Legebatur cum S τὸ πρὸς τὴν θείαν ὁμοίωσιν ἐμποδίζον nullo sensu, quum aut τὸ τὴν θείαν ὁμοίωσιν ἐμποδίζον aut τὸ τὴν πρὸς θεὸν ὁμοίωσιν reponendum sit. Posterius scripsit Ashtonus ipso Hierocle duce qui supra dicit τὴν πρὸς θεὸν ὁμοίωσιν. quae verba hic repetita esse statuit Curterius utrumque locum eodem modo interpretatus *Deo similis fieri.* Aurispa altero loco habet *Dei similitudinem,* altero *ut deo similis fias.* — 5. ἐπιτίθεσθαι] GM; vulgo ἐπιτείνεσθαι. — 6. συζώντων] v; συζόντων S. — 7. τῶν πρὸς τὴν τούτου βοήθειαν ἐξευρημένων] Curterius vulgavit τῶν πρὸς βοήθειαν ἐξευρημένων χρημάτων, quod e codd. Gall. Med. et S sic emendavit Needhamius: τῶν πρὸς βοήθειαν ἐξευρημένων τὴν τούτου. Ashtonus scribi volebat τῶν πρὸς τὴν τούτου βοήθειαν ἐξευρημένων, Aurispa: *eorum quae ad ejus gubernationem sunt inventa.* — 8. πρὸς τὴν χρείαν —] Cod. Med; vS. πρὸς τὴν τούτου χρείαν. — 8. διευλαβεῖσθαι οὖν] Cod. Med. 1. 2 Σ et Curterius in margine, item Aurispa qui vertit *oportet igitur;* διευλ. γοῦν VMh. Needhamius suo arbitratu posuit δὲ quod minus aptum est. Vulgo hic legitur δεῖ χρῆναι. — 11. μὴ] G; om. M 1. 2. VSΣ. — 11. χαρίσηται] M; χαρήσηται G. — 12. τι] G. et Curt; τε M. — 14. ἐπιλογισμός] Corr. Dav. Cf. extrema hujus paginae verba. Aurispa: *ut factorum a nobis repetitio.* Vulgo ἀπολογισμός. — 15. ἔχῃ] v; ἔχει S. — 18. In versibus

πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· καὶ μετέπειτα
δειλὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο, χρηστὰ δέ, τέρπευ.

Ἐνταῦθα γενόμενος τοῦ λόγου, τῶν ὅλων παραγγελμάτων
ἄθροισόν μοι τὴν γνώμην, ἵνα τὸ εἴσω τῆς ψυχῆς δικαστήριον
πρὸς ταῦτα, ὡς πρὸς θείους νόμους, ἀποβλέπον, ποιῇ τῶν εὖ
ἢ κακῶς πεπραγμένων τὴν ἐπίκρισιν. Πόθεν γὰρ ὁ ἐπιλογισμὸς
ἕξει δειλὰ μὲν εἰργασμένους ἡμᾶς ἐπικόπτειν, χρηστὰ δὲ πρά- pag. 154.
ξαντας ἐπαινεῖν, εἰ μὴ ὁ προλογισμὸς νόμους τινὰς λάβοι, καθ'
οὓς προσήκει τὴν ζωὴν συντάττειν, καὶ πρὸς τούτους τὸ τῆς

qui sequuntur Hieroclis plerique codd. exhibent πρὶν τῶν ἡμερινῶν ἔργων λογίσασθαι ἕκαστον, quod ipsum paulo post repetitur. Hanc lectionem tuentur Cic. de Senectut. cap. XI, 8 Pythagoreorumque more, exercendae memoriae gratia quid quoque die dixerim, audiverim, egerim, commemoro vesperi; Arrian. in Epictet. lib. 3 cap. 10, nisi quod pro ἕκαστον legit ἕκαστα; Auson. Idyll. XVI et interpres Arabs, cujus verba sic latine reddit Elichmannus pag. 9 ed. Salmas: „neque concilia oculis tuis somnum, priusquam attente contempleris unumquodque eorum operum, quae fecisti in toto illo die tuo." Vulgata scriptura quam sequuntur Brunckius Poet. Gnom. p. 108 et Orell. Opusc. vet. Gr. sent. et mor. vol. 1 p. 52, et quae in Vindob. cod. exstat: πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν nititur Porphyrii auctoritate Vit. Pyth. p. 26. Haec autem orta videtur e tribus membris versus subsequentis πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; non ex ipsa rei natura, quum una factorum recensio sufficiat. Quae cum ita se habeant, cum Dacerio, Needhamio, Ashtono lectionem, quam plerique omnes Hieroclis codd. praebent, etsi Curterius τρὶς ἕκαστον ἐπελθεῖν vulgavit, minime deserendam esse arbitratus sum. — 1. πῆ] G. et Curter; ποῦ M. — 1. ἔρεξα; τί μοι] M. et Curt; ἔῤῥεξα τί δέ μοι G. — 3. δειλὰ] M; δεινὰ G. et Curt. — 1. τέρπευ] G. et M; τέρπου Curt. S. — 4. ὅλων] M. et Curt; ὅλον G. — 5. τὸ εἴσω τῆς ψυχῆς δικαστήριον — ἀποβλέπον —] Cod. Med; vulgo ἵνα τῷ ἔσω (Curter. male τῷ ἴσῳ) τῆς ψυχῆς δικαστηρίῳ — ἀποβλέπων. — 6. ποιῇ τῶν εὖ] Ita vulgo non male; Codd. Gall. S et Med. ποιῆται τῶν εὖ. — 8. δειλὰ] M. et Ipl. G; δεινὰ vulgo. — 18. ἐπικόπτειν] Correxit Bentlejus apud Needhamium pro eo quod in codd. est ἐπισκώπτειν. Est autem ἐπικόπτειν ***accusare, reprehendere, invehi***, quod ipsum significare videtur Aurispa vertens ***accusare et corrigere***. Diog. Laërt. 9, 18 de Xenophane γέγραφεν ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου, ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα. Philostr. Vit. Soph. I p. 483. 6 Γοργίας ἐπικόπτων τὸν Πρόδικον, ὡς ἕωλα . . . . . ἀγορεύοντα. Liban. Argum. in Demosth. Olynth. 3. παρελθὼν ἐπικόπτει τὴν ἀλαζονείαν αὐτῶν. Alterum verbum ἐπισκώπτειν loco minus convenit. — 10. προσήκει] v; προσήκῃ S. — 10. συντάττειν] Cod. Med. S et G; vulg. τάττειν. — 10. τούτους] M. et Curt; τούτοις G. — 10. τῆς] v; om. S.

συνειδήσεως ταμιεῖον, ὡς πρός τινα σκοπόν, ἀπευθύνοι τὸν ὅλον ἡμῶν βίον; Ὁσημέραι δὲ ποιεῖσθαι τὴν τοιαύτην κρίσιν εἰσηγεῖται, ἵνα τῷ συνεχεῖ τῆς μνήμης τὸ τῆς κρίσεως ἀπλανὲς διασώζηται· πρὸς ἑσπέραν δέ, καὶ εἰς *ὕπνον* τρεπομένων, ὅπως ἂν εἰς τὸ πέρας τῶν μεθημερινῶν πράξεων τὸ τῆς συνειδήσεως καθίζοιμεν δικαστήριον, ἐπικοίτιον ᾆσμα θεῷ τὴν τῶν διαθέσεων ἀνάκρισιν ποιούμενοι, *πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;* Οὕτω γὰρ παραμετρήσομεν τὴν ἑαυτῶν ζωὴν τοῖς παραδεδομένοις κανόσι, τῷ νομοθέτῃ νῷ τὸν κριτὴν λόγον ἐπισυνάπτοντες. Τί οὖν ὁ νομοθέτης λέγει; Τιμᾶν τοὺς φύσει κρείττονας, κατὰ τὴν οὐσιώδη αὐτῶν τάξιν. Γονέων καὶ συγγενῶν πλεῖστον ποιεῖσθαι λόγον. Τοὺς ἀγαθοὺς ἄνδρας ἀσπάζεσθαι καὶ φιλεῖν. Τῶν σωματικῶν δυνάμεων ὑπερέχειν.

1. πρός τινα σκοπὸν] Ita vulgo; Cod. Med. 1. 2. SV habent πρός τινα θεῖον σκοπόν quod edidit Needhamius. At commode abesse potest θεῖον, quod nec Aurispa nec codd. Gall. agnoscunt. — 1. ἀπευθύνοι] Sic posui duce Aurispa, quem probabile est ita scriptum offendisse in suo exemplari, quum verterit *et ad has conscientia nostra, tanquam ad aliquod signum, omnem nostram vitam dirigat.* Hoc utique praestare videtur vulgatae lectioni ἀπευθύνειν. Cod. Med. et S exhibet ἀπευθύνει, item libri Gall, quamquam ibi alio atramento additum est ν. — 3. διασώζηται] Cod. Med et S; vulgo διασώσηται. — 4. εἰς ὕπνον] Codd. Gall. et Curt; πρὸς ὕπνον M. — 4. τρεπομένων] Cod. Med. e collatione Salvini apud Dacerium et S, reliqui libri male τρεπόμενον. Structurae ratio plerosque videtur viros doctos fefellisse. Etsi enim haud obscurum est, hanc quoque sententiae partem referri ad εἰσηγεῖται ideoque Aurispa repetito verbo dixit *suadet praeterea, cum nox advenerit,* quum sensum hunc esse voluerit: ὁσημέραι ποιεῖσθαι κρίσιν εἰσηγεῖται (ἡμῖν) et πρὸς ἑσπέραν δὲ (εἰσηγεῖται ἡμῖν) τρεπομένοις, tamen neque τρεπομένοις, quod Curterius in margine posuit, Ashtonus probavit, opus est pro τρεπομένων, neque hoc ipsum subaudito ἡμῶν, ut Needhamius facit, explicandum, siquidem ea est genitivi absoluti natura, ut nullum desideretur pronomen, aut non magis ἡμῶν quam τινῶν intelligi possit. Similiter Plutarch. de oracul. defect. p. 434. B. (vol. VII p. 708 ed. Reisk.) καὶ γὰρ ὑμῶν ἑωρακέναι τινὰς οἴομαι χειρόμακτρα καὶ δίκτυα καὶ κεκρυφάλους ἐκεῖθεν, οὔτε περικαομένους, ἀλλ' ὅσ' ἂν ῥυπανθῇ χρωμένων, ἐμβαλόντες εἰς φλόγα λαμπρὰ καὶ διαφανῆ κομίζονται. Hic ἀλλ' ὅσ' ἂν ῥ. χ. significat: sed quaecunque usu sordes contraxerunt. Ab his exemplis diversa sunt ea quae attulerunt Krügerus Gramm. § 47, 4, 3. et Madvig. Synt. ling. gr. p. 205 seq. — 5. εἰς τὸ πέρας — καθίζοιμεν δικαστήριον] Codd. G. M. et Aur: *tanquam in fine diurnorum operum simus, ut conscientiae judicium statuamus.* Vulgo cum S εἰς τὸ omittitur, deinde καθέζοιμεν legitur. — 7. ἔρεξα] M. et Curt; ἔῤῥεξα G. — 8. παραμετρήσομεν] v; παραμετρήσωμεν S. — 9. παραδεδομένοις] Codd. GM. et A. Vulgo παραδιδομένοις.

Ἑαυτὸν αἰδεῖσθαι πανταχοῦ. Δικαιοσύνης ἐπιμελεῖσθαι. Χρημάτων καὶ τῆς ἐφημέρου ζωῆς προεγνωκέναι τὸ εὔφθαρτον. Τὸν ἀπὸ τῆς θείας κρίσεως ἀπονεμηθέντα κλῆρον ἀσπάζεσθαι. Θεοπρεπεῖ δὲ χρῆσθαι φρονήματι, καὶ πρὸς τὸ βέλτιον μεθιστάναι τὴν γνώμην. Φιλολογίαν ἀσκεῖν τῶν ὄντως λόγων. Ἀνεξαπάτητον εἶναι, καὶ ἀδούλωτον πρὸς τὴν τῆς ἀρετῆς τήρησιν. Εὐβουλίᾳ πρὸ τῶν ἔργων χρῆσθαι, ἐξ ἧς τὸ ἀμεταμέλητον ἐν τοῖς ἔργοις παραγίνεται. Οἰήσεως καθαρεύειν. Τὸν ἐπιστημονικὸν μεταδιώκειν βίον. Τὸ σῶμα καὶ τὰ ἐκτὸς πρὸς τὴν τῆς ἀρετῆς ἐνέργειαν μεταῤῥυθμίζειν. Ταῦτα ὁ νομοθέτης νοῦς διαθεσμοθετεῖ ταῖς ψυχαῖς· ὁ δὲ ὑποδεξάμενος αὐτὰ λογισμὸς δικαστὴς ἄγρυπνος ἑαυτοῦ γίνεται, θαμὰ λέγων πρὸς ἑαυτὸν πῇ pag. 156.
παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; καὶ ἐν τάξει τὴν μνήμην ἀναλαμβάνων ἀρετῆς εἵνεκα. Εἶτα

2. προεγνωκέναι τὸ εὔφθαρτον] G. et A, nisi quod legit ἄφθαρτον, quod non convenit huic loco. Vulgo περιεγνωκέναι quod usu caret. — 4. χρῆσθαι φρονήματι] corr. B; vulgo mendose χαίρεσθαι quod etiam A: sic vertit: ***prudentia a deo tibi data laetari.*** Interpolator Cod. Gall. deleto χ posuit αἵρεσθαι cum VMh, non male. Cod. Med. om. τὸν ἀπὸ τῆς θείας κ. τ. λ. usque ad χαίρεσθαι. Verba θεοπρεπεῖ δὲ χρῆσθαι desunt etiam in Cod. Vindob. — 4. καὶ] G. et Curt; om. M. — 7. ἀμεταμέλητον] G. et Curt ἀμετάβλητον M. — 8. ἔργοις παραγίνεται] G. et A: ***ex quo poenitentia factorum non sequitur;*** Curt. ἔξω παραγίνεται. — 8. τὸν ἐπιστημονικὸν —] Ashtonus haec prioribus annecti vult inserta καὶ particula (καθαρεύειν καὶ τὸν ἐπιστημονικὸν —) quia ejusdem sint praecepti atque ab Hierocle in Commentario conjungantur: βίος . . . . . οἰήσεως μὲν καθαρεύων, ἐπιστήμης δὲ πλήρης. Sed nihil mutandum esse reor. — 10. ἀρετῆς ἐνέργειαν] G. et Curt; ἀρετῆς συνέργειαν SVMh; ἀρίστης ζωῆς συνέργειαν M. — 10. μεταῤῥυθμίζειν] Emend. N; μεταριθμίζειν vulgo; μεταρυθμίζειν SVMh. — 10. διαθεσμοθετεῖ] G. et Curt; διανομοθετεῖ M. — 11. ὑποδεξάμενος] M. et Curt; διαδεξάμενος GVMh. — 12. θαμὰ λέγων πρὸς ἑαυτὸν] M π. ἑ. λ. S; vulgo haec om. — 13. τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;] totum versum exhibet Cod. Med; vulgo ut in S. omissa posteriore parte legitur πῇ παρέβην; τί δ' ἔρεξα. — 14. καὶ ἐν τάξει τὴν μνήμην ἀναλαμβάνων ἀρετῆς εἵνεκα] i. e. et ordine singula memoria repetens, virtutis causa vel ut suus virtuti honos tribuatur. Mer. Casaubonus requirens genitivum qui ad τὴν μνήμην pertineat, negat ita, ut in vulgatis libris legitur, graece dici posse. Quamobrem pro ἀρετῆς εἵνεκα reponendum ἀρετῆς καὶ κακίας suspicatur. Hujus conjecturam secutus Dacerius vertit: en rappellant par ordre toutes ses actions bonnes et mauvaises. Bentlejus pro ἀρετῆς εἵνεκα proponit ἐρεύνης vel ἐξετάσεως vel ἀνακρίσεως εἵνεκα, Holst. ἀ. ἢ κακίας, Needhamius μελέ-

εὑρὼν ἑαυτὸν συμφώνως τοῖς προκειμένοις ὅροις διημερεύσαντα, τῆς θείας εὐφροσύνης τοῖς καρποῖς ἀναδεῖ. Παρὰ μέλος δέ τι πράξαντα φωράσας, ὥσπερ τισὶ φαρμάκοις, ταῖς ἐκ τῆς μετανοίας νουθετήσεσιν ἐπιστύφει. Διὸ τὸν ὕπνον ἀποκρούσασθαι δεῖν φησι τῇ προθυμίᾳ τοῦ λογισμοῦ. Ἀνέξεται δὲ τὸ σῶμα, μὴ κατασυρόμενον ὑπὸ τῆς τοῦ δαρθάνειν ἀνάγκης, διὰ τὴν σώφρονα δίαιταν, δι' ἣν καὶ τὰ ἀναγκαῖα πάθη τῇ τοῦ λογισμοῦ ἡγεμονίᾳ συντάττεται. Μὴ προσδέξασθαι γάρ φησι τὸν ὕπνον, πρὶν τῶν ἡμερινῶν ἔργων λογίσασθαι ἕκαστον. Καὶ τίς ὁ λογισμός; πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; Διχῶς γὰρ ἁμαρτάνομεν· ἢ τὸ μὴ δέον ποιήσαντες, ὃ διὰ τοῦ παρέβην δηλοῦται· ἢ τὸ δέον μὴ ποιήσαντες, ὡς ἐπ' αὐτῆς κεῖται τῆς λέξεως. Ἄλλο γὰρ ἀργία τοῦ καλοῦ· καὶ ἄλλο ἐνέργεια τοῦ αἰσχροῦ. Καὶ τὸ μὲν τῇ παραλείψει κακίζεται, τὸ δὲ τῇ παραδοχῇ.

της, Ashtonus ἀναμετρήσεως εἵνεκα vel ἀναμετρεῖ ἕκαστα. Quibus conjecturis non egemus in loco satis plano et perspicuo. Nec tamen spernendus genitivus τῶν πεπραγμένων, quem in Codice suo invenisse videtur Aurispa *factorum memoriam* interpretatus. Itaque per me licet legas qnod etiam Ashtono in mentem venit: ἐν τάξει τὴν τῶν πεπραγμένων μνήμην ἀναλαμβάνων ἀρετῆς εἵνεκα. Sic paulo ante ἵνα τὸ εἴσω δικαστήριον ποιῆται τῶν εὖ ἢ κακῶς πεπραγμένων τὴν ἐπίκρισιν. Epictet. ap. Arrian. Diss. 4, 6 de hoc versu: ἀναπόλει τὰ πεπραγμένα· πῇ παρέβην τῶν πρὸς εὔροιαν; τί ἔρεξα ἢ ἄφιλον ἢ ἀκοινώνητον; τί μοι δέον οὐκ ἐτελέσθη πρὸς ταῦτα. — 5. τῇ προθυμίᾳ τοῦ λογισμοῦ] Codd. Gall. et Curt; τῇ προθεσμίᾳ τοῦ λογισμοῦ M. — 5. ἀνέξεται] M. et Curt; ἀνέξεσθαι G. ἀνέξασθαι V. — 6. δαρθάνειν] G. et Curt; καταδαρθάνειν MSV. — 7. τῇ τοῦ] MSV; vulgo τοῦ. — 10. ἔρεξα] M. et Curt; ἔρρεξα G. — 11. μοι δέον] Codd. G. aur. Carm. et A: *quid quod fieri mihi oportebat non explevi?* Vulgo μὴ δέον. — 11. ἢ — δηλοῦται] M. et Curt; haec omnia om G. — 13. δέον μὴ] G. et M; vulg. μὴ δέον. — 13. κεῖται τῆς λέξεως] G; vulgo κεῖται λέξεως. — 14. ἀργία — ἐνέργεια] recte edd. Paris. et Lond. quum verborum sensus sit: aliud est honestarum rerum neglectio, aliud turpium actio. Itaque satis mirari non possum, cur Needhamius pro hac scriptura dativum ἀργίᾳ et ἐνεργείᾳ substituerit hac addita interpretatione: aliud enim oritur ex boni negligentia, aliud vero a perpetrando quod turpe est. Ait quidem, se ad mutandum hunc locum adductum esse codd. Gallicorum auctoritate, in quibus inter λέξεως et ἄλλο exaratur ἡ, deinde spatium relictum est duorum vel plurium verborum, sed nihil deesse fidem faciunt codex Mediceus et Aurispa. Sequitur autem in libris Gall. ἄλλο γὰρ ἀργίᾳ καὶ ἄλλο ἐνεργείᾳ, quod scripturae mendum esse patet. Cod. Vind. ἀργίας — ἐνεργείας. — 15. παραδοχῇ] v; παροχῇ S.

Οἷον, εὔχεσθαι δεῖ, καὶ βλασφημεῖν οὐ δεῖ· τρέφειν γονέας δεῖ, προπηλακίζειν δὲ οὐ δεῖ. Ὁ οὖν τὰ πρότερα μὴ ποιῶν τὰ δέοντα οὐ ποιεῖ, ὁ δὲ τὰ δεύτερα ποιῶν τὰ μὴ δέοντα ποιεῖ· εἰ καὶ ἀμφότερα τρόπον τινὰ πρὸς τὴν ἴσην παρανομίαν ἔρχεται. Τὴν δὲ ἀναμέτρησιν τῶν ἡμερινῶν ἔργων παραινεῖ ποιεῖσθαι ἀπὸ πρώτου ἕως τελευταίου ἐν τάξει, μηδὲν παραλείποντα τῶν μέσων· ὃ διὰ τοῦ ἐπέξιθι νοεῖται. Πολλάκις γὰρ ἡ μετάθεσις παραλογίζεται τὴν κρίσιν, καὶ εὐαπολόγητον ποιεῖ τὸ κακῶς εἰργασμένον τῇ ἀταξίᾳ τῆς μνήμης. Καὶ ἄλλως δὲ ἡ pag. 158. τῆς καθημερινῆς ζωῆς ἀνάμνησις μελέτη γίνεται τῆς τῶν προβεβιωμένων ἀναπολήσεως, καὶ τῆς ἀθανασίας ἡμῶν συναίσθησις. Καὶ τὸ θαυμαστόν, λογίσασθαι ἕκαστον εἰπὼν οὐκ ἔτι ἐπήγαγε, τί κατώρθωσα; τί μοι τῶν δεόντων πέπρακται; ἀλλὰ εἰς τὸ ἀτυφότερον τὴν μνήμην μεθήρμοσε, τῶν ἡμαρτημένων τὴν κρίσιν ποιούμενος καὶ δικαστὴν ἐπέστησε τὸν δικαιότατον ἅμα καὶ οἰκειότατον, τὸ συνειδὸς αὐτό, καὶ τὸν ὀρθὸν λόγον, καὶ αὐτὸν ἑαυτῷ, ὃν πάντων μάλιστα αἰδεῖσθαι προεπαιδεύθημεν· τί γὰρ οὕτω δύναται νουθετῆσαι ἄλλος ἄλλον, ὡς αὐτὸς ἑαυτόν; Τὸ γὰρ αὐτεξούσιον, τῇ ἐλευθερίᾳ τῆς φύσεως ἀποχρώμενον, ἀποσείεται τὰς παρὰ τῶν ἄλλων συμβουλάς, ὅταν μὴ ἐθέλῃ πείθεσθαι· ὁ δὲ οἴκοθεν λογισμὸς αὐτὸς ἑαυτοῦ κατακούειν ἀνάγκην ἔχει. Τοῦτον ἐπίτροπον ἡμῖν ὁ θεὸς ἐπέστησε· τοῦτον παιδαγωγὸν καὶ διδάσκαλον. Τοῦτον καὶ νῦν δικαστὴν ὁ λόγος τῶν ἡμερινῶν ἔργων ποιεῖται, καὶ παρ'

2. τὰ πρότερα μὴ ποιῶν τὰ δέοντα οὐ ποιεῖ] Cod. Med. et S; vulgo legitur τὰ πρότερα ποιῶν τὰ δέοντα ποιεῖ, quod expressit A: ***qui igitur prima facit, ea quae fieri oportebat facit.*** Sed flagitatur contrarium. Itaque Mds habet: τὰ πρότερα μὴ ποιῶν τὰ δέοντα μὴ ποιεῖ, quod N. et Asht. receperunt. At dicendum erat οὐ ποιεῖ, quod Gudius scriptum repperit. — 4. εἰ] G. et Curt; om. M. 1. 2. — 5. ἡμερινῶν ἔργων] G; cf. p. 158. Vulgo ἡμετέρων ἔργων; M. ἡμετερινῶν. — 6. παραλείποντα] v; παραλιπόντα S. — 11. ἀθανασίας] v; εὐαθ. VMh. — 12. οὐκ ἔτι ἐπήγαγε] Cod. Med; vulg. οὐκ ἐπήγαγε. — 13. κατώρθωσα] M. et Curt; κατόρθωμα G. — 15. ἐπέστησε] G. et Curt; ἵστησι M. — 17. αὐτὸν] G. et Curt; αὐτὸς M. — 17. πάντων] om. M. — 17. τί γὰρ] Cod. Med et S; τίς γὰρ libb. Gall. et Aurispa. — 18. οὕτω δύναται] G. et A; vulg. om. οὕτω. — 19. αὐτὸς ἑαυτὸν] Sic correxi e Med. vulg. αὐτὸς ἑαυτόν. A: ***Quis enim alter ita alterum monere potest, ut ipse se?*** — 22. θεὸς ἐπ.] in marg. S est ϡ. π'. 24. ἡμερινῶν ἔργων] Curt; ἡμετέρων Ipl. G, ἡμετέρων λόγων καὶ ἔργων M.

αὐτοῦ τὴν κρίσιν ἐκδέχεται, ἵν' αὐτὸς ἑαυτὸν ψηφίσηται ἀποδοχῆς ἢ ἐπιπλήξεως ἄξιον. Ὅταν γάρ, ὡς ἐν γραμματείῳ, τῇ μνήμῃ ἀναγνῷ τὰ πεπραγμένα, τότε κρίνει πρὸς τὸ παράδειγμα ἀποβλέπων τὸν νόμον, καὶ ψηφίζεται τιμῆς ἢ ἀτιμίας ἑαυτὸν ἄξιον. Ἡ δὲ τοιαύτη καθ' ἡμέραν παρακολούθησις θεοειδὲς ἄγαλμα τὸν χρώμενον ἀποτελεῖ, προσθήκαις καὶ ἀφαιρέσεσι πρὸς τὸ τῆς ἀρετῆς κάλλος παιδαγωγοῦσα, καὶ ὡς οἷόν τε ἄνθρωπον ἀγαθὸν ἀποτελοῦσα. Εἰς τοῦτο γὰρ κατέληξεν ὁ λόγος, μέλλων μεταβαίνειν ἐπὶ τὰ θεοποιὰ παραγγέλματα.

XX. 45—48.

pag. 160. Ταῦτα πόνει, ταῦτ' ἐκμελέτα· τούτων χρὴ ἐρᾶν σε,
ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει·
ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτύν,
παγὰν ἀενάου φύσεως. —

Ταῦτ' ἦν, ἃ καὶ ἐν Προοιμίοις ἐλέγομεν, ὅτι ἡ μὲν πρακτικὴ φιλοσοφία διὰ τῆς τῶν ἀρετῶν κτήσεως τὸν ἄνθρωπον ἀγαθὸν ἀποτελεῖ, ἡ δὲ θεωρητικὴ εἰς ὁμοιότητα Θεοῦ καθίστησι, νοῦ καὶ ἀληθείας ἐλλάμψει· προηγεῖσθαι δέ, ὡς πρὸς ἡμᾶς, τὰ ἐλάττονα τῶν μειζόνων ἐξ ἀνάγκης. Ῥᾷον γὰρ ἐπιμετρῆσαι τὸν ἀνθρώπινον βίον τῇ εὐλογίστῳ χρήσει, τοῦ παντελῶς μετα-

1. ἑαυτὸν ψηφίσηται ἀποδ.] Cod. Med 1. 2. SV; vulgo ἑαυτοῦ ψηφίσῃ τὸ ἀποδοχῆς. Paulo inferius Hierocles ψηφίζεται τιμῆς ἢ ἀτιμίας ἑαυτὸν ἄξιον. — 2. γραμματείῳ] G; vulgo γραμματίῳ. — 3. τότε κρίνει πρὸς τὸ παράδειγμα ἀποβλέπων τὸν νόμον, καὶ ψηφίζεται] Codd. N. et R; τότε τὸ παράδειγμα βλέπων τὸν νόμον κρίνει καὶ ψ. G; τότε πρὸς τὸ παράδειγμα κρίνει ἀποβλέπων τὸν νόμον καὶ ψ. M; τότε πρὸς τὸ παράδειγμα βλέπων τὸν νόμον, ψηφίζεται vulgo. τὸ ante π. om. M. — 6. τὸν χρώμενον] MG. R et A: ***quicunque autem quotidie tali exercitio usus fuerit, Deo similem imaginem accipit.*** Vulgo χρωμένων. — 13. ἁμετέρᾳ] GM; ἡμετέρᾳ Curt. — 13. ψυχᾷ] G. et Curt; ψυχῇ M. — 14. ἀενάου] M. et Curt; ἀεννάου G. — 15. ταῦτ' ἦν, ἃ καὶ ἐν] Cod. Med; vulgo male, ταυτόν, ὃ καὶ ἐν. Cf. prooemium. — 16. κτήσεως τὸν ἄνθρωπον ἀγαθὸν ἀποτελεῖ] Cod. M, item libri Gallici, nisi quod τὸν om., et A: ***per acquisitionem virtutum bonum hominem facit.*** Vulgo φύσεως — ἀποτελεῖται. — 18. ἐλλάμψει] G. et Curt; ἐλάμψει M. — 19. ἐπιμετρῆσαι] v; ἐπιμετρεῖσθαι H. — 20. παντελῶς μεταφῦναι] Codd. αὐτὸν [libri Gall. αὐτῶν] μεθεῖναι, quod interpretantur ***omnino eam dimittere*** i. e. ***mori.*** Quae scriptura fortasse minus inepta est quam Ashtono videtur. Etenim si Platone judice philosophorum vita perpetua quaedam commentatio mortis est, quod in Phaedone p. 64 his

φῦναι· ὃ γένοιτ' ἂν διὰ τῆς πρὸς θεωρίαν παντελοῦς ἐπιστροφῆς.

verbis enuntiat: κινδυνεύουσι γὰρ ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας λεληθέναι τοὺς ἄλλους, ὅτι οὐδὲν ἄλλο αὐτοὶ ἐπιτηδεύουσιν ἢ ἀποθνήσκειν τε καὶ τεθνάναι, ac si universae philosophiae, ut Hierocles initio commentarii dixit, is est finis propositus, ut mortalis naturae vitiis liberati virtutis via ad deorum similitudinem perveniamus: profecto divina illa vita sola vitae nomine digna, prior vero, quae vitiorum labe non carebat, mortis instar haberi debet. Accedit quod quum alii veterum veram animis vitam quamdiu his corporum vinculis astricti essent, non contingere statuerent: Hierocles Platonis vestigiis ingressus homines civilis virtutis exercitatione praeparatos ejus philosophiae quae in contemplatione posita est auxilio diis assimilari et prioris habitus formam recuperare posse existimavit. Clara sunt, ut de aliis taceam, Heracliti dicta θάνατός ἐστι ὁκόσα ἐγερθέντες ὁρέομεν, ὁκόσα δὲ εὕδοντες, ὕπνος apud Clementem Strom. III, 3 p. 520 et μόνον οὐ καὶ ὁ Ἡράκλειτος, κατὰ τοῦτο Μωϋσέως ἀκολουθήσας τῷ δογματί φησι, ζῶμεν τὸν ἐκείνων θάνατον, τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον· ὡς νῦν μὲν ὅτε ἐνζῶμεν τεθνηκυίας τῆς ψυχῆς καὶ ὡς ἂν ἐν σήματι τῷ σώματι ἐντετυμβευμένης apud Philonem Alleg. leg. I, fin. Facilius autem Hierocles dicit esse ἐπιμετρῆσαι τὸν βίον τῇ εὐλογίστῳ χρήσει i. e. vitam rationi convenienter instituere eamque virtute exercenda κατ' ὀλίγον προςαυξάνειν, (ut loquitur Simplicius in Epictet. Enchir. p. 50 ed. Salmas.) quam παντελῶς αὐτὸν μεθεῖναι. Namque illa virtus, quae in actione consistit, eo valet, ut animi affectibus moderetur eosque rationi subjiciat: contra ea quae rerum contemplatione continetur efficit, ut omni animi commotione ac perturbatione liberemur. Ita Porphyr. πρὸς τὰ νοητὰ ἀφορμ. c. 34. ἡ κατὰ τὰς πολιτικὰς ἀρετὰς διάθεσις ἐν μετριοπαθείᾳ θεωρεῖται· ἡ δὲ κατὰ τὰς θεωρητικὰς ἐν ἀπαθείᾳ, ἧς τέλος ἡ πρὸς θεὸν ὁμοίωσις. Quamobrem mirum non est, Pythagoreos credidisse, homines ejusmodi vita deorum similes factos post mortem deos esse immortales. Cf. carminis finem ἢν δ' ἀπολείψας κ. τ. λ. Quum igitur nisi praetermissa omni voluptatis cura, humanis vitiis et erroribus liberi et quasi obita morte vivi deorum beatitudinis participes non fiamus, transitus e pristino statu ad naturae nostrae perfectionem aeque mors ac mutatio vitae vocari potest. Quocirca eodem redeunt μεθεῖναι, quod in libris et scriptis et editis legitur et quod Ashtonus conjicit μεταθεῖναι. Est enim μετατιθέναι τὸν βίον apud Diog. Laert. V, 78 ut vulgo μεταλλάττειν τὸν βίον vel simpliciter μεταλλάττειν *mori*. Diogenis verba sunt: ὑπ' ἀσπίδος τὴν χεῖρα δηχθεὶς τὸν βίον μετέθηκε. At Ashtonus μεθεῖναι τὸν βίον de mutata vitae ratione ac de animo ad divinam naturam transformato accepit, quod vereor, ut idoneis exemplis queat probari. Nam etsi laudat Polybii illud lib. I, 63, 2 διδάξαι καὶ πραῧναι καὶ μεταθεῖναι τοὺς ἠγνοηκότας itemque Epicteti verba ap. Arrian. Diss. 2, 15 τῶν νῦν τινας οὐκ ἔστι μεταθεῖναι, tamen ex his locis, ubi μετατιθέναι nihil nisi *mutare* designat nequaquam sequitur, μετατιθέναι τὸν βίον eo quo ipse vult significatu dici posse. Quodsi displicet in philosophorum vita haec mortis imago, non est difficile locum emendare. Suspicor igitur omisso αὐτὸν, quod e scripturae compendio

Καὶ ἄλλως δὲ ἀδύνατον ἀθορύβως κτήσασθαι τὴν ἀλήθειαν, μὴ τῶν ἀλόγων δυνάμεων ἡμῖν ταῖς ἠθικαῖς ἀρεταῖς κατὰ νοῦν τεταγμένων. Μέση γὰρ οὖσα ἡ λογικὴ ψυχὴ νοῦ καὶ ἀλογίας, τότε μόνον ἀπερισπάστως δύναται συνεῖναι τῷ πρὸ αὐτῆς νῷ, ὅταν καθαρὰ γενομένη τῆς τῶν μετ' αὐτὴν προςπαθείας, καθαρῶς ἐφάπτηται ἐκείνων. Ἔσται δὲ καθαρά, εἰ μηδὲν τῇ ἀλογίᾳ, μηδὲ τῷ θνητῷ σώματι συνεκφέροιτο, ὡς ἄλλη δὲ ἄλλων ἐπιμελοῖτο, τοσοῦτον αὐτοῖς ἀπονέμουσα φροντίδος, ὅσον ὁ θεῖος κελεύει νόμος, ἐξάγειν ἑαυτὸν πειρᾶσθαι μὴ συγχωρῶν, ἀλλὰ περιμένειν ἕως ἂν ὁ θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς. Διττῆς οὖν ἀρετῆς τῇ τοιαύτῃ ψυχῇ δεήσει· πολιτικῆς μὲν πρὸς τὰ κάτω, τὴν ἀλογίαν ταττούσης· θεωρητικῆς δὲ πρὸς τὰ ἄνω, τὴν τῶν κρειττόνων συνουσίαν προξενούσης. Τῶν δὲ διπλῶν τούτων

nescio quo et posteriore praepositionis μετὰ syllaba verbo μεθεῖναι superposita ortum esse existimo, rescribi oportere μεταφῦναι. Tum igitur ῥᾷον γὰρ ἐπιμετρῆσαι τὸν ἀνθρώπινον βίον τῇ εὐλογίστῳ χρήσει τοῦ παντελῶς μεταφῦναι vertendum erit: facilius enim est vitam humanam ad rationis normam dirigendo excolere, quam prorsus aliud sibi ingenium inducere. — 1. ἄλλως] M. et Curt; ἄλλος G. — 2. ἀλόγων] M. et Curt; ἀλογίστων G in marg. — 3. μέση — ἡ λογικὴ ψυχὴ νοῦ καὶ ἀλογίας] Ita recte Cod. Med. Idem jam Curter. scripsit pro quarundam membranarum scriptura μεστή. Cf. pag. 188. Est enim νοῦς τὸ ἡγεμονικόν, quod imperat τῇ ψυχῇ, sicut ψυχὴ imperat ταῖς ἀλόγοις δυνάμεσι. Proclus in Plat. Tim. p. 77. B. (pag. 180 ed. Schneid.) ἐπεὶ γὰρ μέσης ἐστὶν οὐσίας ἡ ψυχή, καὶ τὸ μεταξὺ συμπληροῖ νοῦ καὶ ἀλογίας. Philo libro περὶ κοσμοποιίας ait: ἀνθρώπῳ νοῦν ἐδωρεῖτο, ψυχῇ τινα ψυχήν, καθάπερ κόρην ἐν ὀφθαλμῷ. Plotinus Enn. 5. 1 pag. 487 ἡ ψυχὴ λόγος νοῦ καὶ ἐνέργειά τις et pag. 489 ψυχὴν γεννᾷ νοῦς. — 5. γενομένη] v; γινομένη S. — 5. τῆς τῶν μετ' αὐτὴν προςπαθείας] G. M. et A: ***passiones quae post illam erunt pure attingit.*** Vulgo τοῖς τῶν μετ' αὐτῆς προςπ. — 6. ἔσται] G. et Curt; ἔστι M. — 6. μηδὲν] v; μηδὲ Gaisf. — 7. ὡς ἄλλη δὲ ἄλλων] Curt; ὥσπερ ἄλλη δὲ ἄλλων G; ὥσπερ ἄλλο δὲ ἄλλου M. — 8. αὐτοῖς ἀπονέμουσα] M. et Curt; αὐτῆς G. — 9. ἐξάγειν ἑαυτὸν] Cod. Med; αὑτὸν S; vulgo αὐτόν, cujus loco Curterius αὐτὴν ponendum conjecit, quod temere probavit Needhamius. Namque etsi ἡ ψυχή est quae educitur, nunquam tamen Graeci dicunt αὐτὴν ἐξάγειν, sed ἑαυτὸν ἐξάγειν i. e. vim sibi afferre, mortem sibi consciscere vel ut Seneca dicit Epist. 70, 4 se emittere, quia ὁ ὄντως ἄνθρωπος est ἡ ψυχή, ut ait Plato in Alcib. I et mens cujusque, is est quisque, ut legimus apud Ciceronem Somn. Scip. sub fin. Porphyr. de abstin. I, 38 βίᾳ ἑαυτὸν ὁ φιλοσοφῶν οὐκ ἐξάξει et in vit. Pythag. ἑαυτὸν τοῦ βίου ἐξήγαγε. Diog. Laert. 7, 130 εὐλόγως φασὶν ἐξάξειν ἑαυτὸν τοῦ βίου τὸν σοφόν. Alia exempla vide in Thes. Parisiensi p. 1209. — 10. διττῆς] G. et Curt; διπλῆς MS.

ἀρετῶν μεθόριον ἔγκεινται οἱ τοιοῦτοι στίχοι· τὸ μέν, ταῦτα πόνει· ταῦτ' ἐκμελέτα· τούτων χρὴ ἐρᾶν σε, ὡς pag. 162. οἰκεῖον συμπέρασμα τῆς πολιτικῆς ἀρετῆς· τὸ δέ, ταῦτα σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει, ὡς ἀρχὴ καλλίστη τῆς θεωρητικῆς ἐπιστήμης. Τὸν γὰρ ἀπαλλαγέντα τῆς θηριώδους ζωῆς, καὶ τῆς ἀμετρίας τῶν παθῶν, ὅση δύναμις, καθαρεύσαντα, καὶ διὰ τοῦτο οἷον ἐκ θηρίου γενόμενον ἄνθρωπον, τὰ ἑξῆς ἐπαγγέλλεται θεὸν ἐξ ἀνθρώπου ποιήσειν, ἐφ' ὅσον οἷόν τε ἀνθρώπῳ θεὸν γενέσθαι. Ὅτι δὲ τοῦτο τῆς θεωρητικῆς ἀληθείας τὸ τέλος, δι' αὐτῶν δηλοῦται τῶν Ἐπῶν· ἐν οἷς πρὸς τῷ τέλει τὸ κάλλιστον καὶ ἀκρότατον συμπέρασμα ἐπάγει·

Ἢν δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
Ἔσσεαι ἀθάνατος θεός, ἄμβροτος, οὐκ ἔτι θνητός.

Τυγχάνειν δὲ τῆς ἀποκαταστάσεως ἡμᾶς (ταὐτὸν δὲ εἰπεῖν τῆς ἀποθεώσεως) διὰ τῆς προασκηθείσης ἀρετῆς, καὶ τῆς ἐπὶ ταύτῃ γνωσθείσης ἀληθείας, οὗτος ὁ ἱερὸς ἀποφαίνεται λόγος,

1. τούτων] G. et Curt; om. M. — 4. θείης] G; θείας M. et Curt. — 4. ἀρχὴ καλλίστη] G. et Curt; ἀρχὴν καλλίστην MS. — 5. τὸν] M. et Curt; τὸν μὲν G. — 7. θηρίου] M. et Curt; θηρίων G. — 7. τὰ] M. et Curt; τὸ Ipl. G. — 8. ἐπαγγέλλεται] G. et A: ***consequentia vero promittunt ex homine, quantum homini possibile est, deum fieri***. Vulgo ἀπαγγέλλεται. — 9. ὅτι δὲ τοῦτο τῆς θεωρητικῆς ἀληθείας τὸ τέλος] hunc esse finem etc. Ita recte e codd. edidit Curterius. Sed Dacerius, quem Needhamius sequitur, planissima locutione non perspecta, verbum θεοῖ e Salviniana Cod. Medicei collatione addidit: ὅτι δὲ θεοῖ τοῦτο, ut est in Mh. [ὅτι δὲ θῶι S]. Gudius ante θεοῖ i. e. θεοποιεῖ in membranis Mediceis non repperit δὲ, unde patet illud ex hoc esse ortum. Quamobrem Curteriana scriptura, quae commodum sensum praebet, minime sollicitanda est. Praeterea pro τέλος in Cod. Med. legitur τέρας, in S. πέρας. — 11. τῷ τέλει] v; τὸ τέλει S. — 13. οὐκ ἔτι] M. et Curt; οὐκέτι G. — 14. δὲ] Curt; γὰρ SG; γὰρ ἀνάγκη MCh. — 14. ἀποκαταστάσεως] Restitutionem in pristinum statum ait nos adepturos vel ut loquitur Plato in Timaeo p. 42 εἰς τὸ τῆς πρώτης εἶδος ἕξεως, quae ipsa est illa ἀρχαία στάσις et ἀρχαία ἕξις, de qua Hierocles in sequentibus agit. — 15. ἀποθεώσεως] M. Ipl. G, quod conj. Curter. Vulgo ἀποθέσεως. — 16. οὗτος ὁ ἱερὸς λόγος] ***sacer hic sermo*** ipsum carmen vocatur; nam proprie a Pythagoreis, ut postea ait Hierocles hoc nomine appellabatur ὁ εἰς Πυθαγόραν ἀναφερόμενος ἱερὸς λόγος, id est, liber quem Pythagoras accepta ab Orpheo rei explanandae materia περὶ θεῶν composuisse traditur ab Jamblicho in vit. Pythag. c. 28 his verbis: οὐκ ἔτι δὴ οὖν ἀμφίβολον γέγονε, τὸ τὰς ἀφορμὰς παρὰ Ὀρφέως λαβόντα Πυθαγόραν συντάξαι τὸν περὶ θεῶν λόγον, ὃν καὶ ἱερὸν διὰ τοῦτο ἐπεγράψαμεν, ὡς ἂν ἐκ τοῦ μυστικω-

ὡς εἰσόμεθα μικρὸν ὕστερον. Νῦν δὲ ἐπὶ τὰ προκείμενα ἔπη πάλιν ἐπανελθόντες ἐπισκεψώμεθα εἴ τι βούλεται ὁ πόνος, καὶ ἡ μελέτη, καὶ ὁ ἔρως ἐπὶ ταῖς προλαβούσαις ὑποθήκαις, ἢ τὸ πρὸς τὴν τῆς ἀρετῆς ἄσκησιν ὅλην ἐπιστρέψαι τὴν ψυχήν. Τριδύναμος δέ πώς ἐστι, καὶ αὐτὴ καθ' αὑτὴν λογικὴ οὖσα· τὸ μέν τι ἔχουσα, ᾧ μανθάνομεν, ὃ ταῦτα ἐκμελετᾶν νῦν προστάττεται· τὸ δέ τι, ᾧ τὰ γνωσθέντα κρατοῦμεν, ὃ ταῦτα πονεῖν παραγγέλλεται· τὸ δέ τι, ᾧ στέργομεν τὰ γνωσθέντα καὶ κρατηθέντα, ὃ τούτων ἐρᾶν νουθετεῖται. Ἵνα οὖν πάσας τὰς δυνάμεις τῆς λογικῆς ψυχῆς συντεταμένας ἔχωμεν πρὸς τὰ τῶν ἀρετῶν παραγγέλματα, ἐκ μὲν τοῦ νοεῖν πεφυκότος τὴν μελέτην ἀπαιτεῖ· ἐκ δὲ τοῦ τηροῦντος τὰ νοηθέντα, τὸν πό-
pag. 164. νον· ἐκ δὲ τοῦ φιλοκάλου, τὸν ἔρωτα· ἵν' ἐξ ἁπάντων ἡ

τάτου ἀπευθυσμένον περὶ Ὀρφεῖ τόπου, εἴτε ὄντως τοῦ ἀνδρός, ὡς οἱ πλεῖστοι λέγουσι, τὸ σύγγραμμά ἐστιν, εἴτε Τηλαύγους, ὡς ἔνιοι τοῦ διδασκαλείου ἐλλόγιμοι καὶ ἀξιόπιστοι διαβεβαιοῦνται, ἐκ τῶν ὑπομνημάτων τῶν Δαμοῖ τῇ θυγατρὶ ἀπολειφθέντων ὑπ' αὐτοῦ Πυθαγόρου. De eodem libro haec refert Proclus in Platonis Timaeum p. 291 (p. 705 ed. Schn.) ῥητέον δ' οὖν τοῦτον τὸν τρόπον, ὅτι Πυθαγόρειος ὢν ὁ Τίμαιος ἕπεται ταῖς Πυθαγορείων ἀρχαῖς· αὗται δέ εἰσιν αἱ Ὀρφικαὶ παραδόσεις. ἃ γὰρ Ὀρφεὺς δι' ἀποῤῥήτων λόγων μυστικῶς παραδέδωκε, ταῦτα Πυθαγόρας ἐξέμαθεν ὀργιασθεὶς ἐν Λεβήθροις τοῖς Θρᾳκίοις Ἀγλαοφάμῳ τελεστᾶ (scr. Ἀγλαοφάμου τελεστοῦ) μεταδόντος ἣν περὶ θεῶν Ὀρφεὺς σοφίαν παρὰ Καλλιόπης τῆς μητρὸς ἐπινύσθη. Ταῦτα γάρ φησιν ὁ Πυθαγόρας ἐν τῷ ἱερῷ λόγῳ. Τίνες οὖν αἱ Ὀρφικαὶ παραδόσεις, ἐπειδήπερ εἰς ταύτας ἀναφέρειν οἰόμεθα χρῆναι τὴν τοῦ Τιμαίου περὶ θεῶν διδασκαλίαν; Sequentia quae lectu dignissima sunt, omittimus. Cf. etiam Menag. ad Laert. VIII, 7. — 1. ἀποφαίνεται λόγος, ὡς εἰσόμεθα μικρὸν ὕστερον] M. G. et A: ***hic sacer sermo (ut sacrum post dicemus) ostendit.*** Vulgo ἀναφαίνεται omisso μικρόν, quod legitur in codd. Gall. — 2. ἐπισκεψώμεθα] v; ἐπισκεψόμεθα S. — 2. εἴ τι] Curt; om. M. et G. τί omisso εἰ SVMh. — 5. τριδύναμος — καθ' αὑτήν, λογικὴ οὖσα] Cod. Med. habet τριδύναμος δέ ἐστι καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ λογικὴ οὐσία. Utraque lectio bona est. [καὶ καθ' αὑτὴν S.] Vulgata nititur codd. Gall. et Aurispae auctoritate qui vertit: ***ipse enim animus rationalis in se persistens triplicem habet potestatem.*** Curter. male ἐστὶ καὶ αὐτὴ καὶ καθ' αὑτήν. In superioribus aliquoties dixerat Hierocles τὴν ψυχὴν de Pythagoreorum et Platonis sententia esse τριμερῆ et τριδύναμον, quum τὸ λογικόν, τὸ θυμικόν et τὸ ἐπιθυμητικόν contineat. Quam partium distinctionem spectans addit, ipsum etiam τὸ λογικὸν (in quo ἡ τῆς ψυχῆς οὐσία versatur) per se esse τριδύναμον. — 7. ᾧ τὰ — ᾧ στέργομεν] M. et Curt; om. G. scripta in margine ab Ipl. — 9. τούτων] G. et Curt; ταῦτα M τοῦτο S. — 10. συντεταμένας] Curt; συνταττομένας Ipl. GSV M. 1.2. — 12. μελέτην] Codd. M. et R; ἐπιμελέτην Ipl. G; vulgo ἐπιμέλειαν.

κτῆσις τῶν ὄντως ἀγαθῶν ἡμῖν παραγίνηται μετὰ τῆς ἀπαραβάτου τηρήσεως, καὶ συμφυοῦς ἡμῖν πρὸς ἐκεῖνα στοργῆς· οἷς ἕπεται ἡ θεία ἐλπίς, τὸ τῆς ἀληθείας ἐπεισάγουσα φέγγος, ὡς αὐτὸς ὑπισχνεῖται λέγων, ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει, τουτέστι, ταῦτά Σε ὁμοιώσει τῷ Θεῷ διὰ τῆς τῶν ὄντων ἐπιστημονικῆς γνώσεως. Τὸ γὰρ τὰς αἰτίας ἐκλογίσασθαι τῶν ὄντων, τὰς ἐν τῷ δημιουργῷ θεῷ πρώτως κειμένας, πρὸς τὴν ἀκρότητα ἄγει θεογνωσίας, ᾗ συνεισέρχεται καὶ ἡ πρὸς Θεὸν ὁμοίωσις. Τὴν δὲ ὁμοίωσιν ταύτην θείαν ἀρετὴν ὁ λόγος καλεῖ, ὡς ἐπὶ ἀνθρωπίνην τὴν πρὸ ταύτης καλῶς ἐποχουμένην. Εἰς ἔρωτα οὖν φιλόσοφον καὶ φιλόκαλον ἀποπερατούσθω τὰ πρῶτα ἔπη· τούτου δὲ ἡγουμένου, ἡ τῆς ἀληθείας γνῶσις ἑπέσθω πρὸς ὁμοίωσιν τῆς θείας ἀρετῆς ἀνάγουσα, ὡς ἐν τοῖς ἑξῆς ἔπεσι δηλοῦται. Τὸ δὲ ἀναγκαῖον τῆς συναφῆς τούτων καὶ ὅρκῳ πιστοῦται. Τὸ γὰρ καλῶς κτηθεῖσαν τὴν ἀνθρωπίνην ἀρετὴν πρὸς τὴν θείαν ὁδεύειν ὁμοίωσιν, εὖ μάλα διατεταμένως ὄμνυσιν ὁ τὸ Σέβου ὅρκον ἐν ἀρχῇ παραγγεί-

1. τῶν ὄντως ἀγαθῶν] G; vulgo deest ὄντως. — 2. συμφυοῦς ἡμῖν] Curt; ἡμῶν G; συμφυούσης ἡμᾶς M. συμφυοῦς εἰς ἡμᾶς S. V. — 2. οἷς ἕπεται] Curt; αἷς G, sed superscriptum οἷς; οἷς ἐπέστη M. — 5. τῷ] Curt; om. M. G. — 6. τῶν ὄντων] Cod. Med. e coll. Salvini, quod exprimit Dacerius *des êtres*, licet in textu typothetae errore habeat τῶν ὅλων ut S. Curterius male τῶν ὑλῶν, quod Needhamius in τῶν ὅλων mutavit. Veram esse Medicei codicis scripturam efficitur e sequentibus: τὸ γὰρ τὰς αἰτίας — τῶν ὄντων, siquidem ἡ τῶν ὄντων γνῶσις primarium τῆς θεωρητικῆς φιλοσοφίας munus saepenumero appellatur. Accedit quod sententia ταῦτά σε ὁμοιώσει τῷ θεῷ διὰ τῆς τῶν ὄντων γνώσεως repetitur Comm. in Vers. 50 τὸ γὰρ γνῶναι τὰ ὄντα, — ὁμοίωμα θεῖόν ἐστι κτήσασθαι. Similiter Comm. in Vers. 52 γινώσκειν τὰ ὄντα et τὴν ἀξίαν τῶν ὄντων ἰδεῖν. Aliam lectionem Aurispa his verbis videtur exprimere: ***per doctrinalem causarum intelligentiam.*** — 7. πρώτως] SVM 1. 2; vulg. πρῶτα. — 8. ἀκρότητα — θεογνωσίας] Curt; ἀκροτάτην θεογνωσίαν SVM 1. 2. et Ipl. G. — 10. πρὸ] v; πρὸς S. — 11. φιλόσοφον καὶ φιλόκαλον] v; φιλόκαλον καὶ φιλόσοφον. S. — 11. ἀποπερατούσθω] Curt; ἀποπερατοῦται MGSCh. — 14. ἐν τοῖς ἑξῆς ἔπεσι δηλοῦται] Cod. Med et S; vulgo ἐν τοῖς ἑξῆς ἐπιδηλοῦται. Ita et infra διὰ τῶν προκειμένων ἐπῶν δηλοῦται. — 15. κτηθεῖσαν] Emend. N; antea κτησθεῖσαν; Med. κτισθεῖσαν. — 17. διατεταμένως] G. et Mds; vulgo male διατεταγμένως. — 17. ὁ τὸ Σέβου —] Cod. Med; vulgo cum S ὁ Σέβου. Eodem modo τὸ σέβου ὅρκον Comm. in vers. 2. Curterius puncto post ὄμνυσιν posito exhibet: ὁ δὲ σέβου ὅρκον ἐν ἀρχῇ παραγγείλας, τὴν ἀποχὴν cujus loco G. et M habent: παραγγεῖλας. Τὴν γὰρ ἀποχήν.

λας. Τὴν γὰρ ἀποχὴν τοῦ ὀμνύναι προστάττει περὶ τῶν ἐνδεχομένων, καὶ ἄδηλον τῆς ἐκβάσεως ἐχόντων τὸ πέρας. Ταῦτα γὰρ καὶ μικρά, καὶ μεταπίπτοντα· διὸ οὔτε ἄξιον ἐπ' αὐτοῖς ὀμνύναι, οὔτ' ἀσφαλές· οὐ γὰρ ἐφ' ἡμῖν εἰς πέρας αὐτὰ ἀγαγεῖν. Περὶ δὲ τῶν παρόντων, ἀναγκαίως τε συνημμένων, καὶ μεγίστων ὄντων, ἀσφαλὲς τὸ ὀμνύναι, καὶ πρέπον. Οὔτε γὰρ τὸ μεταπῖπτον τῶν πραγμάτων ἡμᾶς ἄν ποτε σφήλειε (δέδεται γὰρ πρὸς ἄλληλα θεσμῷ ἀδραστείας, περὶ ὧν ὁ ὅρκος νυνὶ γί-
pag. 166. νεται) οὔτε τὸ ταπεινὸν αὐτῶν καὶ χαμαιπετὲς τοῦ θείου τὴν ἐπιμαρτυρίαν ἀρνεῖται· ἀλήθεια γὰρ καὶ ἀρετὴ οὐ μόνον ἐστὶν ἐν ἀνθρώποις, ἀλλὰ καὶ ἐν Θεοῖς τὰ μέγιστα. Ἔπειτα καὶ ὁ ὅρκος αὐτῷ γίνεται δόγμα, ὅτι τὸν διδάσκαλον τῆς ἀληθείας οὕτω δέοι τιμᾶν, ὡς καὶ ὀμνύναι αὐτόν, εἴ που δέοι πρὸς βεβαίωσιν τῶν δογμάτων· καὶ μὴ μόνον τὸ αὐτὸς ἔφα περὶ αὐτοῦ λέγειν, ἀλλὰ καὶ ταῦτα οὕτως ἔχειν νὴ τὸν αὐτόν.

1. ἀποχὴν] v; ἀπαρχὴν S. — 2. ἄδηλον] Cod. Med; vulgo ἀόριστον; S. ἄοιστον. — 3. καὶ μικρὰ] G. M; τὰ μικρὰ vulg. — 4. αὐτὰ] v; αὐτὸ S. — 6. οὔτε γὰρ τὸ μεταπῖπτον] G. et A: nam neque mobilitas rerum; vulg. οὕτω γὰρ τὸ μεταπίπτον. Cum Codd. Gall. consentit M, qui tamen pro τὸ habet τι. — 7. σφήλειε] VM 1. 2; σφήλειεν S; vulgo σφήλῃ. — 8. θεσμῷ ἀδραστείας] 'Αδράστεια, ἀναπόδραστος αἰτία οὖσα κατὰ φύσιν. Aristot. de mundo c. 7. Similiter Proclus in Plat. Theol. 4, 16 p. 206 τῷ τῆς ἀδραστείας θεσμῷ πάντα ὑπήκοα, καὶ πᾶσαι διανομαὶ θεῶν καὶ μέτρα πάντα καὶ φρουραὶ διὰ τοῦτον ὑφεστήκασι. Adde eund. in Timaeum p. 323. Vide Thesaur. Paris. vol. I p. 701. Caeterum pro θεσμῷ G. male δεσμῷ. — 8. ὁ] GM; vulgo om. — 9. οὔτε τὸ ταπεινὸν αὐτῶν] Cod. Med S et Aurispa; vulgo male καὶ οὔτε τὸ ταπεινὸν αὐτὸ [αὐτὸ item S], in quo καὶ plane abundat. — 10. ἀρνεῖται] SM; ἀρνῆται v. — 11. ἐστὶν ἐν ἀνθρώποις] G. et A: ***non solum in hominibus***. Vulgo ἐστὶν ἀνθρώποις. Med. ἐν ἀνθρώποις omisso ἐστίν. — 12. αὐτῷ] Recte Curterius e cod. Paris. edidit αὐτῷ quod ad carminis scriptorem refertur, ut patet e praecedentibus διατεταμένως ὄμνυσιν ὁ τό, σέβου ὅρκον, ἐν ἀρχῇ παραγγείλας et sequentibus ὃν νῦν ἐπόμνυται ὁ τῶν ἐπῶν συγγραφεύς. Novum autem hoc loco placitum affert jurandi per ipsum Pythagoram. Male Bentlejus apud Needhamium pro αὐτῷ legendum conjecit αὐτός quod explicat: ὅρκος αὐτὸς γίνεται δόγμα. Sed ὅρκος αὐτός, id est jusjurandum ipsum per deos non nunc primum γίνεται δόγμα, quum vetustissimum fuerit et ab ipso carminis auctore versu secundo tradatur. Aurispa in suo codice non repperit pronomen. Vertit enim: ***praeterea jusjurandum fit quaedam religionis opinio***. — αὐτῷ] v; αὐτ̃ S. — 13. δέοι] M. et Curt; δέει G. — 14. μὴ] G. et Curt; οὐ M. — 14. αὐτὸς ἔφα περὶ] GM; αὐτὸς ἔφα μὲν περὶ vulgo. Sed μὲν recte omiserunt N. et Luc. Holstenius adnot. ad Porphyr. vit. Pyth. p. 13. — 15. νὴ τὸν

Ὁμοῦ δὲ περὶ τῆς τῶν καλλίστων ἕξεων συναφῆς ὑμνύων θεολογεῖ, καὶ τὴν τετράδα, πηγὴν τῆς ἀϊδίου διακοσμήσεως, ἀποφαίνεται τὴν αὐτὴν οὖσαν τῷ δημιουργῷ Θεῷ. Πῶς δὲ τετρὰς ὁ θεός; οὕτως ἐκ τοῦ εἰς Πυθαγόραν ἀναφερομένου Ἱεροῦ Λόγου σαφῶς εὑρήσεις, ἐν ᾧ ἀριθμὸς ἀριθμῶν ὁ θεὸς ὑμνεῖται. Εἰ γὰρ τὰ ὄντα πάντα ταῖς ἀϊδίοις αὐτοῦ βουλήσεσιν ὑφέστηκε, δῆλον ὅτι καὶ ὁ ἀριθμὸς ὁ ἐν ἑκάστῳ εἴδει τῶν ὄντων τῆς ἐκείνων αἰτίας ἤρτηται, καὶ ὁ πρῶτος ἀριθμὸς ἐκεῖ πού ἐστιν· ἐκεῖθεν γὰρ ἐνταῦθα. Τοῦ δὲ ἀριθμοῦ τὸ πεπερασμένον διάστημα ἡ δεκάς. Ὁ γὰρ ἐπὶ πλέον ἀριθμεῖν ἐθέλων ἀνακάμπτει πάλιν ἐπὶ τὸ ἕν, καὶ δύο, καὶ τρία· καὶ δευτέραν ἀριθμεῖ δεκάδα πρὸς τὴν τῆς εἰκοσάδος συμπλήρωσιν· καὶ τρίτην ὁμοίως, ἵνα

αὐτὸν] M. et Curt; καὶ τὸν αὐτὸν G, sed superscriptum νὴ τὸν αὐτὸν legitur. — 3. πῶς δὲ τετρὰς ὁ θεός; οὕτως ἐκ —] Cod. Med; quae inserta ab Ashtono interrogandi nota vera videtur esse scriptura. Ait Hierocles τὴν τετράδα τὴν αὐτὴν εἶναι τῷ θεῷ. Quamobrem quaerat aliquis quo modo fiat, ut τετρὰς sit deus. Cui quaestioni ille sic respondet οὕτως ἐκ τοῦ — ἱεροῦ λόγου εὑρήσεις. Etenim Jamblichus in vita Pythagorae memoriae prodit, illum in libro περὶ θεῶν quem ἱερὸν λόγον inscripsit τὴν κατ' ἀριθμὸν θεολογίαν tradidisse. Ex quo libro haec ejus verba profert (p. 123 ed. Kuster.) quae ad hunc locum illustrandum imprimis faciunt: ἔφα τὰν ἀριθμῶ οὐσίαν αἴδιον εἶναι ἀρχὰν προμαθεστάταν τῶ παντὸς ὠρανῶ καὶ γᾶς καὶ τᾶς μεταξὺ φύσιος· ἔτι δὲ καὶ θεῶν καὶ δαιμόνων διαμονᾶς ῥίζαν. Curterius edidit: πῶς δὲ τετρὰς ὁ θεός, οὕτως ἐκ —, in margine autem posuit αὐτός, quod non caret commodo sensu longeque praestat conjecturae Bentlejanae, quam Needhamius et hic probavit πῶς δὲ τετρὰς ὁ θεὸς νοητός, ἐκ — et paulo post ἀριθμός ἀριθμῶν ὁ θεὸς νοητὸς ὑμνεῖται pro ἀριθμῶν ὁ θεὸς [θεὸς ὄντως M 1. 2; θεὸς οὗτος G. θ. οὕτως SMh.] ὑμνεῖται. Cf. p. 170. Sed nulla opus est mutatione. — 6. ταῖς ἀϊδίοις] MG; vulgo ταῖς ἀϊδίαις. — 7. ὁ ἐν ἑκάστῳ — τῆς ἐκείνων] ὁ sumpsimus e Cod. Med et S; ἐκείνων e codd. quibusdam Gall. a Curterio collatis et S. Scriptor autem ἐκείνων intelligit τῶν ὄντων, quod utique melius est quam ἐν ἐκείνῳ i. e. εἴδει, quod Needhamius e codd. Gall. VM 1. 2. et Aurispae interpretatione, ubi legitur: ***a Deo numeri dependeant oportet*** inseruit. Cum Deus, inquit, eorum omnium quae sunt causa sit, planum est τὸν ἀριθμὸν qui in unaquaque τῶν ὄντων specie est ex ἐκείνων (τῶν ὄντων) causa h. e. e Deo pendere: siquidem rerum quae sunt et numerorum qui rebus inhaerent eandem esse causam oportet. Itaque deus jure dicitur ἀριθμὸς ἀριθμῶν, quum sit πρῶτος ἀριθμός ab eoque caeteri omnes oriantur. — 8. ἐκεῖ πού ἐστιν· ἐκεῖθεν γὰρ ἐνταῦθα] Cod. Med et S; vulgo ἐκεῖ· ἐκεῖθεν γὰρ καὶ ἐνταῦθα. — 10. πλέον] G. et Curt; πλεῖον M. — 11. δύο] scripsi; δύω v. — 12. εἰκοσάδος] Codd; N. et A. posuerunt εἰκάδος. Quod etsi usitatius est, tamen codd. scripturam servandam esse patet. Sic Sextus Empir. adv. astrol. IV, 32

τριάκοντα εἴπῃ· καὶ τοῦτο ἑξῆς, ἕως ἂν δεκάτην ἀριθμήσας δεκάδα εἰς ἑκατὸν προέλθῃ. Καὶ πάλιν ἑκατὸν δέκα τὸν αὐτὸν τρόπον ἀριθμεῖ. Καὶ οὕτω μέχρις ἀπείρου τῷ τῆς δεκάδος διαστήματι ἀνακυκλουμένῳ προχωρεῖν δύναται. Τῆς δὲ δεκάδος δύναμις ἡ τετράς. Πρὸ γὰρ τῆς κατὰ διέξοδον τελειότητος τῆς ἐν τῇ δεκάδι, ἡνωμένη τις τελειότης ἐν τῇ τετράδι θεωρεῖται. Κατὰ γὰρ σύνθεσιν τὴν ἀπὸ μονάδος ἕως τετράδος, δεκὰς τὸ πᾶν ἄθροισμα γίνεται. Α′ γάρ, καὶ β′, καὶ γ′, καὶ δ′, τὴν δεκάδα πληροῖ. Καὶ ἔστι μεσότης ἀριθμητικὴ μονάδος καὶ
pag. 168. ἑβδομάδος ἡ τετράς. Τῷ ἴσῳ γὰρ ἀριθμῷ πως ὑπερέχει, καὶ ὑπερέχεται, τριάδι μὲν ἑβδομάδος λειπομένη, τριάδι δὲ μονάδα ὑπερβάλλουσα. Μονάδος γὰρ καὶ ἑβδομάδος τὰ ἰδιώματα κάλλιστά εἰσι καὶ ἄριστα. Ἡ μὲν γὰρ μονάς, ὡς ἀρχὴ παντὸς ἀριθμοῦ, τὰς πάντων δυνάμεις ἐν ἑαυτῇ συνέχει· ἡ δὲ ἑβδομάς, ὡς ἀμήτωρ καὶ παρθένος, τὴν τῆς μονάδος ἀξίαν δευτέρως ἔχει. Οὔτε γὰρ γεννᾶται ἐξ ἀριθμοῦ τινος τῶν ἐντὸς δεκάδος· ὡς ὁ δ′ ἐκ τοῦ δὶς β′, καὶ ὁ ἓξ ἐκ τοῦ δὶς γ′, καὶ ὁ η′ ἐκ τοῦ δὶς δ′, καὶ ὁ θ′ ἐκ τοῦ τρὶς γ′, καὶ ὁ ι′ ἐκ τοῦ δὶς ε′. Οὔτε γεννᾷ τινα τῶν ἐντὸς δεκάδος· ὡς ὁ δύο τὸν τέσσαρα, καὶ ὁ γ′ τὸν ἓξ καὶ τὸν θ′, καὶ ὁ ε′ τὸν ι′. Τῆς δὲ ἀγεννή-

p. 337, 18: ἀκολουθήσει γὰρ τῇ τῆς μονάδος προςθέσει τὴν δεκάδα εἰκοσάδα γίνεσθαι. Lucian. Alex. c. 11 πένθ᾿ ἑτέρας μονάδας καὶ εἰκοσάδα τριςάριθμον. — 2. προέλθῃ] v; προέλθοι H. — 2. ἑκατὸν] G. et Curt; ἑκατὸν καὶ δέκα M. ἑκατὸν δέκα S. — 3. διαστήματι] v; διάστημα S. — 4. προχωρεῖν] G. et Curt; προςχωρεῖν M. — 5. δύναμις] G. et Curt; ἡ δύναμις M. — 5. πρὸ γὰρ τῆς] Ipl. G. et A: ***ante enim;*** Curter. πρὸ τῆς. Vulgo inepte πρὸς γὰρ τῆς — τελειότητος. ἡ γὰρ S; ἡ γὰρ τ. δεκάδος κατὰ διεξ. τελειότης ἐν τετράδι θεωρεῖται M. 2. — 6. τῆς ἐν τῇ δεκάδι] G. et Curt; τῆς δεκάδος M qui et τελειότης pro τελειότητος habet verbis inde a τῆς usque ad τελειότης ἐν [ut in S] omissis. — 7. τὴν ἀπὸ μονάδος] GM. et A: ***nam secundum compositionem a monade.*** Vulgo καὶ ἴσῳ omisso πως. — 8. α′-β′-γ′-δ′] v; ἓν — δύο — τρία — τέσσαρα S. — 10. τῷ ἴσῳ γὰρ ἀριθμῷ πῶς ὑπερέχει] GM et A: ***aequaliter enim superat et superatur.*** Vulgo καὶ ἴσῳ omisso πως. — 11. μονάδα] G; μονάδος M. — 12. τὰ ἰδιώματα] Cod. Med; deest τὰ in caeteris. — 14. ἀριθμ.] v; τοῦ ἀριθμ. S. — 14. ἑαυτῇ G. et Curt; ἑκάστῳ M 1. 2. — 17. ὡς ὁ δ′] Cod. Med. recte; vulgo ὡς καὶ ὁ δ′. — 18. τρὶς γ′ — ἐντὸς δεκάδος] Corr. N. ex A: ***novem ex ter tribus — intra decem.*** Caeterum ἐντὸς quod jam Curterius conjecerat legitur etiam in MG. Vulg. ἐκ τοῦ γ′ — ἐκτὸς δεκάδος. — 20. τὸν ἓξ καὶ] N. haec adjecit ex A: ***et tria sex et novem;*** vulgo desunt ut in S. Rectius autem vertuntur: ***ternarius senarium et novenarium.*** — 20. τῆς δὲ] v; τῆς δὴ S.

του μονάδος καὶ τῆς ἀμήτορος ἑβδομάδος ἡ τετρὰς μέση κειμένη, τὰς τῶν γεννώντων καὶ γεννωμένων δυνάμεις ἅμα καὶ συνείληφε καὶ συνέχει, μόνη τῶν ἐντὸς δεκάδος καὶ γεννωμένη ὑπό τινος ἀριθμοῦ, καὶ γεννῶσά τινα. Ἡ γὰρ δυὰς ἑαυτὴν διπλασιάσασα τὴν τετράδα γεννᾷ· ἡ δὲ τετρὰς δὶς γενομένη τὸν ὀκτὼ ἀποτελεῖ. Καὶ στερεοῦ πρώτη ἔμφασις ἐν τῇ τετράδι εὑρίσκεται. Τὸ γὰρ σημεῖον ἀνάλογόν ἐστι μονάδι, ἡ δὲ γραμμὴ δυάδι, ἀπό τινος γὰρ ἐπί τι· καὶ τριάδι προσήκει ἡ ἐπιφάνεια, στοιχειωδέστατον γὰρ τῶν εὐθυγράμμων τὸ τρίγωνον. Τὸ στερεὸν δὲ οἰκεῖον τῇ τετράδι. Ἡ γὰρ πρώτη πυραμὶς ἐν τῇ τετράδι θεωρεῖται· τριγώνου μὲν βάσεως ὑποτεθείσης, τοῦ τρία· κορυφῆς δὲ αὐτῇ ἐπιτεθείσης, τοῦ ἑνός. Καὶ κριτικαὶ δὲ δυνάμεις ἐν τοῖς οὖσι τέσσαρες, νοῦς, ἐπιστήμη, δόξα καὶ αἴσθησις. Κρίνεται γὰρ πάντα τὰ ὄντα ἢ νῷ, ἢ ἐπιστήμῃ, ἢ δόξῃ, ἢ αἰσθήσει. Καὶ ἁπλῶς, τὰ ὄντα πάντα ἡ τετρὰς ἀνεδήσατο, στοιχείων ἀριθμόν, ὡρῶν τοῦ ἔτους, ἡλικιῶν, συνοικισμῶν.

2. γεννώντων καὶ γεννωμένων] v; γεννόντων καὶ γεννομένων S. — 2. ἅμα καὶ συνείληφε καὶ συνέχει] MCh; vulgo ἅμα συνείληφε. S. ἅμα καὶ σ. — 4. ὑπὸ] MG; ἀπὸ Curt. — 5. δὶς γενομένη] Ipl. G. et A: *quaternarius vero duplicatus octonarium conficit.* Vulgo δύο γεν. — 6. στερεοῦ] Cod. Med. S et Ipl. G ubi in textu est στεραιά; reliqui στερεά. Sed infra quoque scriptor τὸ στερεόν. Similiter Philo περὶ κοσμοπ., πρώτη τετρὰς τὴν τοῦ στερεοῦ φύσιν ἔδειξε. — 6. ἔμφασις] M. et Curt; ἔμφρασις G. — 9. στερεὸν] M. et Curt; στεραιὸν G. — 10. τῇ] G. et Curt; om. MS. — 11. μὲν] Curt; δὲ in G superscriptum: om. M. — 11. ὑποτεθείσης] Cod. M; vulg. ἀποτεθείσης. — 12. τρία] Curt. et G; ἐννέα M. om. S cum τοῦ. — 12. κορυφῆς — ἑνός] G. et Curt; om. M. — 12. αὐτῇ] id est τῇ βάσει, ut constructio requirit. Vulgo perperam αὐτῆς ἐπιτεθείσης. Codd. G. αὐτοῦ. Aurispa e suo codice vertit *ipsi.* Eodem fere modo Sextus Empir. advers. Mathem. p. 427 ed. Fabr. τοῖς τρισὶ σημείοις ἐπιτεθέντος ἄλλου ἄνωθεν σημείου. Confer eundum adv. Logic. p. 390 et p. 333. — 12. κριτικαὶ δυν. τέσσαρες] Haec ex Aristotelis de anima libr. 1 c. 2 et III, 4 mutuatus videtur Hierocles. Cf. Proclum in Platonis Timaeum p. 76 et 77 uberius iisdem de rebus disserentem. Caeterum δὲ post κριτικαὶ om. S. — 13. καὶ] G. et Curt; om. M. — 14. ἢ νῷ] M. et Curt; ἢ om. GS. — 15. ἀνεδήσατο] M. et Curt; ἀνεδύσατο G. — 16. στοιχείων ἀριθμόν, ὡρῶν τοῦ ἔτους, ἡλικιῶν, συνοικισμῶν] Emend. Luc. Holstenius in Observ. ad Porphyr. de vit. Pythag. p. 13. Rem illustrat Theon Smyrnaeus cap. περὶ τετρακτύος καὶ τετράδος his verbis: ἑβδόμη δὲ τετρακτὺς ἡ τῶν κοινωνιῶν ἀρχὴ μὲν καὶ οἷον μονὰς ἄνθρωπος, δυὰς δὲ οἶκος, τριὰς δὲ κώμη, τετρὰς δὲ πόλις. τὸ γὰρ ἔθνος ἐκ τούτων σύγκειται. Vulg. στοιχείων, ἀριθμῶν. — ἡλικιῶν, συνοικισμῶν (συνοικισμὸν Med. S).

pag. 170. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὃ μὴ τῆς τετρακτύος, ὡς ῥίζης καὶ ἀρχῆς, ἤρτηται. Ἔστι γάρ, ὡς ἔφαμεν, δημιουργὸς τῶν ὅλων καὶ αἰτία ἡ τετράς, θεὸς νοητός, αἴτιος τοῦ οὐρανίου καὶ αἰσθητοῦ θεοῦ. Παραδέδοται δὲ ἡ τούτου γνῶσις τοῖς Πυθαγορείοις δι' αὐτοῦ τοῦ Πυθαγόρου, ὃν καὶ νῦν ἐπόμνυται ὁ τῶν Ἐπῶν τούτων συγγραφεύς, ὅτι τῆς ἀρετῆς ἡ τελείωσις πρὸς τὴν τῆς ἀληθείας ἔλλαμψιν ἡμᾶς ἀνάξει. Ὥστε καὶ κατὰ τοῦτο εἴποι ἄν τις ἰδίᾳ μὲν τηρεῖσθαι τὸ Σέβου ὅρκον ἐπὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων θεῶν· ἰδίᾳ δὲ νῦν ὄμνυσθαι κατὰ τοῦ παραδόντος ἡμῖν τὴν τετρακτὺν διδασκάλου, ὃς οὐκ ἦν τῶν ἀθανάτων θεῶν, οὐδὲ τῶν φύσει ἡρώων, ἀλλ' ἄνθρωπος ὁμοιώσει θεοῦ κοσμηθείς, καὶ πρὸς τοὺς ἀφ' ἑαυτοῦ θείαν ἀποσώζων εἰκόνα. Ὅθεν καὶ ἔνορκον αὐτὸν ἐπὶ τῶν οὕτω μεγάλων ποιεῖται, λεληθότως ἐπεμβάλλων τὸ περὶ Πυθαγόραν τῶν ἀκροατῶν σέβας, καὶ τὴν ἀξίαν αὐτοῦ δεικνὺς δι' ὧν παραδέδωκε μαθημάτων. Μέγιστον δὲ τούτων ἡ τῆς δημιουργικῆς τετρα-

1. ὡς ῥίζης καὶ ἀρχῆς] Vide Pythagorae verba supra allata ex Jamblicho in Adnotatione ad p. 166. — 2. δημιουργὸς τῶν ὅλων καὶ αἰτία ἡ τετράς] Non aliter supra; addit vero hic θεὸς νοητός κ. τ. λ. quibus conclusio continetur eorum quae de numeris et Deo τῶν ἀριθμῶν πρώτῳ disputata sunt. Haec autem τετράς, quam τὴν αὐτὴν τῷ δημιουργῷ esse vult, sub sensum non cadit, sed est θεὸς νοητὸς atque αἴτιος τοῦ οὐρανίου καὶ αἰσθητοῦ θεοῦ h. e. τοῦ κόσμου, quem θεὸν γεννατὸν nominat Timaeus. Ita ipse Plato Tim. fin. p. 92 ed. Steph. θνητὰ γὰρ καὶ ἀθάνατα ζῶα λαβὼν καὶ ξυμπληρωθεὶς ὅδε ὁ κόσμος οὕτω ζῷον ὁρατὸν τὰ ὁρατὰ περιέχον εἰκὼν τοῦ νοητοῦ θεὸς αἰσθητός, μέγιστος καὶ ἄριστος κάλλιστός τε καὶ τελεώτατος γέγονεν, εἷς οὐρανὸς ὅδε, μονογενὴς ὤν. — 3. καὶ] G. et Curt; om. MS. — 4. παραδέδοται] M. et Curt; παραδίδοται G. — 4. τούτου γνῶσις] M. et A: *cujus cognitio Pythagoreis ab ipso Pythagora tradita est.* Refertur autem τούτου ad θεὸν νοητόν. Vulg. τούτων γνῶσις. — 4. Πυθαγορείοις] v; Πυθαγορίοις S. — 5. ἐπόμνυται] Codd. M. Vindob. R. et A: *per quem nunc juret horum versuum auctor.* Vulgo ἐπόμενος, quod quum non intelligeret Curterius, post συγγραφεὺς posuit φησιν. — 7. ἔλλαμψιν] G. et Curt; ἔλαμψιν M. — 7. ὥστε καὶ κατὰ] Curt. et G; καὶ om. S; ὡσανεὶ M. 1. 2. — 8. ἀεὶ ὡσαύτως ἐχόντων θ.] Ita recte omisso καὶ edidit Ashtonus pro vulg. ἀεὶ καὶ ὡσαύτως ἐχόντων quod est etiam in S. Cf. supra pag. 26. Simplicius in Epictet. p. 226 ed. Salmas. ἀεὶ ὡσαύτως ἔχει. Jamblich. de myster. p. 5 θεοὶ τὸ εἶναι ἀεὶ ὡσαύτως ἔχουσιν. — 10. τὴν τετρακτὺν] Curt. et G; τὴν om. M. qui praeterea habet τετρακτύος τιμήν ut Ch. — 11. οὐδὲ] Curt. et G; ἀλλ' οὐδὲ MS. — 12. ἀφ' ἑαυτοῦ] v; ἐφ ἑ. V. M. — 13. ἔνορκον] Curt. et G; ἄνορκον M. — 14. τῶν ἀκροατῶν] Curt. et G; τὸν ἀκροατὴν M.

κτύος γνῶσις. Ἀλλ' ἐπεὶ τὰ μὲν πρῶτα ἐπιτέτμηται, τὰ δὲ δεύτερα ἐν ὑποσχέσει κεῖται βεβαίᾳ καὶ ἀψευδεῖ ἐλπίδι, ὅ τε τῆς τετρακτύος ἱεροφάντης ἔγνωσται, καί τίς αὕτη ἡ τετρακτύς, ὅσον τοῖς παροῦσι προσήκει λόγοις, ὑπομνήσεως ἔτυχε· φέρε καὶ ἐφ' ἃ προελθεῖν ὁ λόγος παρακαλεῖ μετίωμεν· πρῶτον μὲν μεθ' οἵας ὁρμῆς καὶ παρασκευῆς, καὶ συνεργείας τῶν Κρειττόνων, ἐλθεῖν ἐπὶ ταῦτα προσήκει προϋποδείξαντες.

XXI. 48—49.

— — — ἀλλ' ἔρχευ ἐπ' ἔργον,
θεοῖσιν ἐπευξάμενος τελέσαι. — — —

Πάντα τὰ πρὸς τὴν κτῆσιν τῶν ἀγαθῶν συντελοῦντα διὰ βραχέων ὑπέγραψεν ὁ λόγος, τὸ τῆς ψυχῆς αὐτοκίνητον καὶ pag. 172.
τὴν τοῦ θεοῦ συνέργειαν. Εἰ γὰρ καὶ ἐφ' ἡμῖν ἡ αἵρεσις τῶν

1. τὰ πρῶτα ἐπιτέτμηται —] (M. et Curt; ἐπιτετίμηται GMh.) i. e. τὰ πρῶτα ἔπη ad virtutes actuosas spectantia ab initio carminis usque ad versum 45, in qua parte declaranda μετρίαν σύνοψιν Πυθαγορείων δογμάτων, ut ipse ait in epilogo, exhibuit. Caeterum τὰ δεύτερα dicit contemplativa, quae jurejurando interposito promittuntur vers. 46. Est autem ὁ τῆς τετρακτύος ἱεροφάντης Pythagoras, cujus nomen Pythagorei reticebant, ἐκεῖνον τὸν ἄνδρα et τὸν θεῖον vocantes, haud secus atque vulgo quicunque mysteriis initiati erant hierophantae nomen edere nefas putabant. Jamblichus vit. Pythag. p. 205 ed. Kust. μηδένα τῶν Πυθαγορείων ὀνομάζειν τὸν Πυθαγόραν, ἀλλὰ ζῶντα μέν, ὁπότε βούλοιντο δηλῶσαι, καλεῖν αὐτὸν θεῖον, ἐπεὶ δὲ ἐτελεύτησεν, ἐκεῖνον τὸν ἄνδρα. Similiter carminis scriptor Pythagoram omisso nomine sola jurisjurandi formula designat. Jamblichus ibid. p. 127 τοὺς Πυθαγορικοὺς αἰδῶ ποιουμένους ὀνομάζειν Πυθαγόραν, διὰ τῆς εὑρέσεως τῆς τετρακτύος δηλοῦν τὸν ἄνδρα, Ναὶ μὰ τὸν κ. τ. λ. — 2. κεῖται βεβαίᾳ καὶ ἀψευδεῖ ἐλπίδι. ὅ τε τῆς τετρακτύος ἱεροφάντης ἔγνωσται, καὶ τίς αὕτη] SVMh. Vulg. κεῖται βέβαια καὶ ἀψευδεῖ ἐλπίδι τῆς τετρακτύος ἱεροφάντις ἔγνωσται καί τις. Codd. G. et M nihil variant nisi quod ἱεροφάντης praebent. Med. etiam male ἔγνωται. A. legit βεβαίᾳ, caetera perperam interpretatur: ***at quum prima pars explicata sit, secunda vero certa in exspectatione maneat, et spem quae per quaternarium promittitur veracem esse interpres rerum divinarum ostendit.*** Dacerius male conj. ἱερὰ φάτις; B. τῆς τε τετρακτύος. — 5. παρακαλεῖ] M 1. 2. S; vulgo παρακελεύει. — 5. πρῶτον μὲν μεθ' οἵας — προϋποδείξαντες] Cod. Med; omisso μὲν Needh. e Codd. Gall. Curterius edidit πρῶτον, μεθ' οἵας — ὑποδείξαντες, ut est in S. Ashtonus conjecit πρῶτον μὲν, μεθ' οἵας — ὑποδείξαντες. Pro ἐπὶ ταῦτα quod legitur in Codd. G. et apud Curterium, Med. ἐπὶ ταύτην. — 6. συνεργείας] v; συνεργίας S. — 7. ταῦτα προσήκει] v; ταύτης πρ. καὶ S. — 10. θεοῖσιν] M. et Curt; θεοῖς G. — 12. καὶ] M. et Curt; om. GS. — 13. ἡ] G; vulg. om.

καλῶν, ἀλλὰ καὶ αὐτὸ τὸ ἐφ' ἡμῖν θεόθεν ἔχοντες, τῆς παρ' ἐκείνου συνεργείας καὶ τελειώσεως τῶν αἱρεθέντων πάντως που χρῄζομεν. Ἔοικε γὰρ τὸ μὲν παρ' ἡμῶν σπουδαζόμενον ἐκτεινομένῃ χειρὶ πρὸς λῆψιν τῶν καλῶν, τὸ δὲ παρὰ θεοῦ συντελούμενον χορηγία εἶναι καὶ πηγὴ τῆς δόσεως τῶν ἀγαθῶν· καὶ τὸ μὲν ἐξευρίσκειν πεφυκέναι τὰ καλά, τὸ δὲ ἐκφαίνειν τῷ ζητοῦντι ὀρθῶς· ἡ δὲ εὐχὴ μεθόριον εἶναι τῆς τε παρ' ἡμῶν ζητήσεως καὶ τῆς παρὰ τοῦ θεοῦ δόσεως, εὖ ἐχομένη τῆς αἰτίας ἡμῶν, τῆς εἴς τε τὸ εἶναι προαγούσης ἡμᾶς, καὶ πρὸς τὸ εὖ εἶναι τελειούσης. Πῶς δ' ἂν λάβοι τις τὸ εὖ, μὴ διδόντος θεοῦ; Πῶς δ' ἂν δοίη τῷ πρὸς τὰς ὁρμὰς αὐτεξουσίῳ μὴ αἰτοῦντι ὁ διδόναι πεφυκὼς θεός; Ἵν' οὖν μήτε λόγῳ μόνῳ τὴν εὐχὴν ποιώμεθα, ἀλλὰ καὶ ἔργῳ ταύτην κρατύνωμεν, μήτε τῇ ἑαυτῶν ἐνεργείᾳ μόνῃ θαῤῥῶμεν, ἀλλὰ καὶ τῆς θεόθεν συνεργείας ἐχώμεθα, καί, ὡς εἶδος ἐπὶ ὕλῃ, τὴν εὐχὴν τῷ ἔργῳ συνάπτωμεν· καὶ τὸ ὅλον τοῦτο, ὅπως ἃ ἐργαζόμεθα καὶ εὐχώμεθα, καὶ ἃ εὐχόμεθα ἐνεργῶμεν· συνάψας εἶπεν, ἀλλ' ἔρχευ ἐπ' ἔργον θεοῖσιν ἐπευξάμενος τελέσαι. Οὔτε γὰρ μόνον προθυμεῖσθαι δεῖ τὰ καλά, ὡς ἐφ' ἑαυτοῖς ὂν κατορθῶσαι, καὶ χωρὶς τῆς τοῦ θεοῦ συνεργείας· οὔτε ψιλοῖς τῆς εὐχῆς τοῖς λόγοις ἀρκεῖ-

1. καὶ] G. et Curt; om. M. — 2. συνεργείας] G. et Curt; συνεργίαν M. συνεργίας S. — 2. αἱρεθέντων] Codd. GM. et R. Vulgo αἰσθητῶν. Dacer. conj. αἰτηθέντων. — 4. τὸ δὲ παρὰ θεοῦ] v; τοῦ θεοῦ δὲ S; τοῦ pro παρὰ H. — 6. ἐξευρίσκειν] v; εὑρίσκειν SVM. — 6. τῷ] v; τὸ S. — 8. εὖ ἐχομένη] MG; videtur enim Hierocli ἡ εὐχὴ ab εὖ ἔχεσθαι esse nominata. Cf. Etym. Magn. Vulgo simpliciter ἐχομένη. — 9. προαγούσης] M. et Curt; προςαγούσης G. — 10. τελειούσης] G. et Curt; προτελεούσης M. προτελειούσης Ch. — 11. πρὸς] v; del. VMh. — 15. καὶ τῆς θεόθεν συνεργείας ἐχώμεθα] Cod. Med. et libri Gallici, item S, ubi συνεργίας; vulgo καὶ ἔργῳ θεόθεν συνεργείας εὐχώμεθα, quod exprimit Aurispa. — 15. ἐπὶ ὕλῃ, τὴν εὐχὴν] M. et Curt; ἐπὶ τῇ ὕλῃ G; τὴν εὐχὴν ἐπὶ ὕλῃ S. — 17. ἃ ἐργαζόμεθα] v; ἂν ἐργαζώμεθα S, ubi additur εὐχώμεθα καὶ εὐχώμεθα ἃ ἐνεργοῦμεν. — 17. καὶ εὐχώμεθα] M. et Curt; εὐχόμεθα omisso καὶ GS. — 17. ἐνεργῶμεν] M. et Curt; ἐνεργοῦμεν G. — 20. ἐφ' ἑαυτοῖς ὂν κ.] Cod. Med. et S; vulgo ὄντα. Ashtonus suspicatus est legendum esse ὂν αὐτὰ κατορθῶσαι, sed frequenter absolute ponitur κατορθοῦν. Vide exempla citata in Thes. Paris. IV, 1363. — 20. τῆς] G; om. vulg. — 21. θεοῦ] v; θείου SVM. — 21. ψιλοῖς] Cod. Med. et Aurispa qui vertit ***nuda verba***; vulgo ψιλῆς τῆς εὐχῆς, quod legitur in lib. R. ψηλοῖς S. — 21. λόγοις] Codd. G. et M; vulg. λογισμοῖς.

σθαι, μηδὲν πρὸς τὴν κτῆσιν τῶν αἰτηθέντων συνεισφέροντας. Οὕτω γὰρ ἢ ἄθεον ἀρετὴν (εἰ οἷόν τε τοῦτο εἰπεῖν) ἐπιτηδεύσομεν, ἢ ἀνενέργητον εὐχήν· ὧν τὸ μὲν ἄθεον ὂν προαναιρεῖ τῆς ἀρετῆς τὴν οὐσίαν, τὸ δὲ ἀργὸν ἐκλύει τῆς εὐχῆς τὸ δραστήριον. Πῶς γὰρ ἔσται τι καλόν, ὃ μὴ πρὸς κανόνα τὸν θεῖον pag. 174. πράττεται; πῶς δὲ τὸ πρὸς τοῦτον πραττόμενον οὐ τῆς ἐκείνου συνεργείας πάντως δεῖται πρὸς ὑπόστασιν; Ἔστι γὰρ ἡ ἀρετὴ εἰκὼν θεοῦ ἐν ψυχῇ λογικῇ· εἰκὼν δὲ πᾶσα τοῦ παραδείγματος δεῖται πρὸς γένεσιν, καὶ οὐκ ἀρκεῖ τῷ κτωμένῳ, ἐὰν μὴ καὶ ἐκεῖσε βλέπῃ, οὗ πρὸς ὁμοίωσιν τὸ καλὸν κτήσεται. Σπεύδοντας οὖν πρὸς τὴν ἐνεργὸν ἀρετὴν εὔχεσθαι προσήκει, καὶ εὐχομένους τὴν κτῆσιν ταύτης ἐργάζεσθαι· τοῦτο δ' ἦν, τὸ πρὸς τὸ θεῖον καὶ λαμπρὸν βλέποντας πράττειν, καὶ πρὸς φιλοσοφίαν ἑαυτοὺς συντείνειν, μετὰ τοῦ εὖ ἔχεσθαι τῆς πρώτης αἰτίας τῶν ἀγαθῶν. Ἡ γὰρ πηγὴ τῆς ἀεννάου φύσεως ἡ τετρακτὺς ἐκείνη οὐ μόνον τοῦ εἶναι τοῖς πᾶσιν, ἀλλὰ καὶ τοῦ εὖ εἶναι, αἰώνιος αἰτία καθέστηκε, τὸ οἰκεῖον ἀγαθὸν διὰ παντὸς ἐφαπλώσασα τοῦ κόσμου, οἷον φῶς ἀκήρατον καὶ νοερόν. Ἡ δὲ ταύτης εὖ ἐχομένη ψυχή, καί, ὡς ὄμμα πρὸς ὀξυωπίαν ἑαυτὴν διασμήξασα, ἔκ τε τῆς ἐπιμελείας τῶν καλῶν πρὸς τὴν

1. συνεισφέροντας] Cod. Med. S et G; vulgo προςφέροντας. Infra Hierocles μηδὲν παρ' ἑαυτῶν συνεισφέροντας. — 2. οὕτω γὰρ ἢ ἄθεον ἀρετὴν — ἐπιτηδεύσομεν] Codd. omnes excepto Med. qui habet οὕτω γὰρ ἂν ἢ ἄθεον — ἐπιτηδεύσωμεν. Vindob. τοῦτο οἷόν τε. — 3. ὂν] G. et Curt; om. M 1. 2. SV. — 6. τὸ δὲ ἀργὸν ἐκλύει] Cod. Med. 1. 2. SV; libri Gall. ἀργὸν καὶ ἐκλύου; vulgo ἀργὸν ἐκλύσει. Needhamius scripsit ἀργὸν καὶ ἐκλύσει. A: ***quorum alterum virtutis substantiam***, ***alterum precum efficaciam destruit.*** — 6. δὲ] v; δαὶ S. — 6. τοῦτον] v; τούτου H. — 7. συνεργείας] v; συνεργίας S. — 7. ἡ ἀρετὴ] MV; ἀρετὴ G. et Curt. — 9. πρὸς γένεσιν, καὶ οὐκ ἀρκεῖ τῷ κτωμένῳ] Ipl. Codd. G. R et M, nisi quod M habet κτημένῳ. Vulg. πρὸς ὑπόστασιν. καὶ εἰκῇ τὸ κτώμενον. — 9. ἐὰν μὴ καὶ ἐκεῖσε] Cod. Med. S; vulgo καὶ desideratur. — 11. πρὸς τὴν] v; ἐπὶ τὴν H. — 12. τοῦτο δ' ἦν, πρὸς — ἀγαθῶν] Cod. Med. S; nisi quod S habet καὶ τὸ λαμπρόν. τοῦτο δ' ἢ G in marg. Needhamius scripsit e Bentl. conj. τοῦτο δὲ πρὸς, deinde e libris Gall. et Med. πράττειν et συντείνειν, quum vulgo legeretur τοῦτο δὲ ὃ πρὸς — βλέποντας πράττει — ἑαυτοὺς συντείνει. μετὰ τῆς πρώτης. In Cod. Med. extrema scribuntur: μετὰ τοῦ εὔχεσθαι πρὸς τὴν πρώτην αἰτίαν τῶν ἀγαθῶν, in G. μετὰ τοῦ εὖ ἔχεσθαι τῆς πρώτης αἰτίας. Curterii illud ὃ πρὸς quod in libris Gallicis repperit, Ashtonum induxit, ut veram scripturam esse statueret τοῦτο δ' ἦν τὸ πρὸς τὸ θεῖον κ. τ. λ. id quod nobis quoque probatur. — 19. εὖ ἐχομένη ψυχὴ] G; vulg. om. εὖ; M. οἰχόμενοι. — 20. ἑαυτὴν διασμήξασα — ἀνεγείρεται] G.

εὐχὴν ἀνεγείρεται· καὶ πάλιν ἀπὸ τῆς εὐκτικῆς πληρώσεως τὴν σπουδὴν ἐπιτείνει, λόγοις ἔργα συνάπτουσα, καὶ ἔργα σπουδαῖα θείαις διαλέξεσι βεβαιουμένη. Καὶ τὰ μὲν εὑρίσκουσα, τὰ δὲ ἐλλαμπομένη, σπουδάζει τε ἃ εὔχεται, καὶ εὔχεται ἃ σπουδάζει. Τοιαύτη μὲν ἡ τῆς σπουδῆς καὶ τῆς εὐχῆς ἕνωσις. Τί δὲ τὰ δι' ἀμφοτέρων τούτων κατορθούμενα, ἑξῆς ἀκούωμεν.

XXII. 49—51.

pag. 176. — — — — — — — τούτων δὲ κρατήσας,
γνώσεαι ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων
σύστασιν, ᾗ τε ἕκαστα διέρχεται ᾗ τε κρατεῖται·

Πρῶτον μὲν θεογνωσίαν καὶ θεολογικὴν ἐπιστήμην παρέσεσθαι τοῖς οὕτως ἀχθεῖσι προλέγει, καὶ πάντων τῶν ἀπὸ τῆς ἱερᾶς τετρακτύος ὑποστάντων τὴν ἐπίγνωσιν, μετὰ τῆς κατὰ γένος αὐτῶν διακρίσεως, καὶ τῆς εἰς ἕνα κόσμον ἑνώσεως. Τὴν μὲν γὰρ σύνταξιν αὐτῶν ἐνταῦθα τὸ τῆς συστάσεως ὄνομα δηλοῖ· τὸ δ' ᾗ διέρχεται, τὴν κατ' εἶδος διαφοράν· καὶ τὸ ᾗ κρατεῖται, τὴν κατὰ γένος κοινωνίαν. Φύσει γὰρ διεστῶτα τῶν λογικῶν οὐσιῶν τὰ γένη κατὰ ταύτην τὴν διάστασιν εἰς μίαν κοινωνίαν συνέρχεται. Τῷ γὰρ εἶναι τὰ μὲν πρῶτα, τὰ δὲ μέσα, τὰ δὲ ἔσχατα, διακέκριται ἅμα καὶ ἥνωται. Οὔτε γὰρ τὰ πρῶτα ἂν γένοιτο μέσα, ἢ ἔσχατα· οὔτε τὰ μέσα πρῶτα, ἢ ἔσχατα· οὔτε τὰ ἔσχατα μέσα, ἢ πρῶτα· ἀλλ' ἐν τοῖς δημιουργικοῖς ὅροις ἀϊδίως μένει κατὰ γένος διακεκριμένα.

R. et M. Male A: et tanquam lumen acuto ejus visui commiscens. Vulgo ἑαυτῆς — ἐνεγείρεται. — 2. λόγοις] G. et Curt; λόγῳ M. — 4. ἐλλαμπομένη] G. et Curt; ἐλαμπ. M. — 4. τε] G; vulg. om. — 5. σπουδῆς — εὐχῆς] v; εὐχῆς — σπουδῆς SVMh. — 6. τί δὲ τὰ] Cod. Med; τί δαὶ S; vulgo male τί δὲ δεῖ τὰ, quod Needhamius e Codd. GVMh. in τί δὲ δὴ τὰ mutavit. Curter. in margine ed. Paris. posuit τίνα δὲ τά. — 13. ἀπὸ τῆς ἱερᾶς τετρακτύος] G. et Curt; ἀπὸ τῆς ἀεννάου φύσεως M. — 15. γένος] M. et Curt; μέρος in Codd. G superscriptum. — 19. κατὰ ταύτην] Ita recte Curterius e codd. Gall. edidit, qui tamen in margine exhibent κατ' αὐτὴν ut Med. et S. — 20. συνέρχεται] M. et Curt; συνέρχεσθαι G. — 20. τῷ] M. Curt; τὸ G. — 21. διακέκριται] v; διακρίνεται SH. — 22. πρῶτα ἂν γένοιτο] Cod. Med. S; in reliquis ἂν desideratur. — 22. οὔτε τὰ μέσα πρῶτα ἢ ἔσχατα] G; R. et A: ***neque media prima vel ultima.*** Vulg. haec desunt. — 23. μέσα, ἢ πρῶτα] v; πρῶτα ἢ μέσα S. — 23. ἐν] G; vulg. om. — 24. μένει κατὰ γένος διακεκριμένα] Cod. MS; vulg. μένει διακεκριμένα κατὰ γένος.

Καὶ οὕτω μὲν τὸ ᾗ ἕκαστα διέρχεται νοοῦμεν. Τὸ δὲ ᾗ ἕκαστα κρατεῖται, πάλιν αὖ τῇδε θεωρήσομεν. Τὸ πᾶν τόδε οὐκ ἂν εἴη τέλειον, μὴ πρῶτα καὶ μέσα καὶ ἔσχατα μέρη ἐν ἑαυτῷ κεκτημένον, ὡς ἀρχὴν καὶ μέσα καὶ τελευτὴν τοῦ ὅλου συστήματος. Καὶ τὰ πρῶτα οὐκ ἂν εἴη πρῶτα, μὴ μέσων καὶ ἐσχάτων αὐτοῖς ἑπομένων, οὐδὲ τὰ μέσα τοῦτ' ἂν εἴη, ὃ λέγεται, μὴ ἄκρων ἑκατέρωθεν αὐτοῖς παρακειμένων· ἀλλ' οὐδὲ τὰ ἔσχατα εἴη ἂν ἔσχατα, μὴ πρώτων καὶ μέσων προηγουμένων. Συνεισάγει οὖν ἄλληλα πρὸς τὴν τοῦ παντὸς τελειότητα. Καὶ τοῦτ' ἦν, τὸ κρατεῖσθαι αὐτὰ ὑπ' ἀλλήλων· ὡς μὲν ἑτεροειδῆ, διαφέροντα· ὡς δὲ ἑνὸς κόσμου μέρη, συνειςιόντα· καὶ αὐτῷ τῷ διεστάναι ἅμα καὶ ἡνῶσθαι τῆς θείας διακοσμήσεως τὴν ὅλην σύστασιν καὶ σύνταξιν πληροῦντα· ἣν γνώσεαι, φησίν, εἰ ἐγκρατὴς γένοιο τῶν προειρημένων καλῶν. Τῶν δὲ ἄκρων γενῶν τῇ μνήμῃ συνεισέρχεται τὰ μέσα· ἀθανάτων γάρ φησι θεῶν θνητῶν τ' ἀνθρώπων σύστασιν. pag. 178. Τὰ δὲ πρῶτα τοῖς ἐσχάτοις διὰ τῶν μέσων συνάπτεται, καὶ τὰ ἔσχατα πρὸς τὰ πρῶτα τῇ μεσότητι τῶν ἀγαυῶν Ἡρώων ἀνατείνεται. Τοιαύτη δὲ καὶ ἡ τάξις τῶν λογικῶν γενῶν ἣ ἐν προοιμίοις παραδέδοται, ὥστ' εἶναι πρῶτοι μὲν ἐν τῷδε τῷ κόσμῳ οἱ ἀθάνατοι θεοί· ἔπειθ' Ἥρωες ἀγαυοί· καὶ τελευταῖοι

1. καὶ οὕτω μὲν τὸ ᾗ ἕκαστα] Cod. Med; vulgo τὸ omittitur. — 2. θεωρήσομεν] G; θεωρήσωμεν M. et Curt. — 2. τὸ πᾶν τόδε] G; cf. p. 18 et 228. Vulg. τὸ omittitur. — 3. πρῶτα] v; πρῶτον S. — 4. μέσα] M. et Curt; μέσην G. — 5. οὐκ ἂν εἴη πρῶτα] v; om. S. — 7. αὐτοῖς] G. et Curt; ἑαυτοῖς ὁ M. — 9. πρὸς] G. et Curt; καὶ M. — 10. τοῦτ'] M. et Curt; τοῦτο G. — 11. διαφέροντα] M. et Curt; διαφέρονται G. — 11. μέρη, συνειςιόντα· καὶ αὐτῷ τῷ διεστάναι] Ipl. G quum in textu esset συνιόντα; vulg. μέρη συνειςιόντα αὐτῷ, τῷ δ; MCh συνιόντα καὶ αὐτὰ τῷ δ. — 16. θνητῶν τ'] v; θνητῶν δ' S. — 17. συνάπτεται] Cod. MS; reliqui συνάπτονται. — 19. τοιαύτη δὲ καὶ — παραδέδοται] MG. et A: ***talis quidem ordo est rerum quae ratione utuntur, quod in principio declaratum est.*** Vulg. τοιαῦτα δὲ, καὶ — παραδέδοται. — 19. ἣ ἐν] Ita edidit Ashtonus flagitante sententia pro vulg. καὶ ἐν; id quod Aurispae interpretatione confirmatur, apud quem legimus ***quod in.*** Caeterum ἐν προοιμίοις significat tres primos versus, in quibus memorantur τρία γένη τῶν λογικῶν i. e. ἀθάνατοι θεοί, ἥρωες, καταχθόνιοι δαίμονες. — 20. ὥστ' εἶναι πρῶτοι μὲν ἐν] Cod. Med. et Ipl. G; ὥστ' εἶεν SH; vulg. ὡς εἶεν μὲν πρῶτον ἐν. N. vulgavit πρῶτοι secutus Aurispam qui vertit: in mundo primi immortales dei.

Δαίμονες καταχθόνιοι, οὓς νῦν θνητοὺς ἀνθρώπους καλεῖ. Πῶς δὲ ἕκαστον τούτων δεῖ νοεῖν ἤδη ἐν προοιμίοις εἴρηται· τὸ δὲ γνῶσιν τούτων προςλαβεῖν ἐπιστημονικήν, ὧν ἐκ παραδόσεως τὴν τιμὴν προειλήφαμεν, πρακτικὴν ἀρετὴν ἀληθείᾳ θεωρητικῇ κοσμοῦσιν ἐγγίνεται, ἢ καὶ ἀπὸ τῆς ἀνθρωπίνης εὐεξίας ἐπὶ τὴν θείαν ἀρετὴν μεθισταμένοις. Τὸ γὰρ οὕτω γνῶναι τὰ ὄντα, ὡς παρ' αὐτοῦ τοῦ θεοῦ ὑπέστη, ὁμοίωμα ἦν θεῖον κτήσασθαι. Ἐπειδὴ δὲ μετὰ τὴν ἀσώματον διακόσμησιν ἡ σωματικὴ φύσις ὑπόκειται, τὸν ἐμφανῆ τοῦτον συμπληροῦσα κόσμον, καὶ πρὸς τὴν τῶν λογικῶν οὐσιῶν ἡγεμονίαν συντεταγμένη, ἑξῆς τὸ τῆς φυσιολογικῆς ἐπιστήμης ἀγαθὸν ἐπακολουθήσειν μηνύει τοῖς ἐν τάξει προϊοῦσιν ἐπὶ τὰς γνώσεις.

1. οὓς νῦν] Cod. Med et S.; vulgo deest νῦν, quod Bentlejus inserendum censuerat. Libri Gallici οὓς γῶν, cujus loco N. οὓς γοῦν scribi volebat. — 2. ἤδη ἐν προοιμίοις εἴρηται] Cod. Med; reliqui ἤδη εἴρηται omisso ἐν προοιμίοις, quo nomine vocatur Commentarius in tres primos versus. — 3. τὸ δὲ γνῶσιν] malim cum Ashtono; τὸ δὴ γνῶσιν vS. — 3. προςλαβεῖν] GM. cf. p. 180. Vulgo λαβεῖν. — 5. κοσμοῦσιν ἐγγίνεται — μεθισταμένοις] Cod. Med. Vulgo κοσμούντων [ut S] — μεθιστάντων; GSCh. μεθισταμένων. — 7. ὑπέστη, ὁμοίωμα ἦν θεῖον κτήσασθαι] Cod. Med; ὁ. θεῖον ἦν SCh; reliqui ὑπέστησαν, ὁμοίωμα θεῖον κτήσασθαι. Post θεῖον Curter. inseruit ἐστι. N. conjecit: ὁμοίωμα θεῖόν τί ἐστι propter Aurispae verba: ***similitudo quaedam dei est.*** Supra ὡς ἕκαστα ὑπέστη παρὰ τοῦ δημιουργοῦ et infra γνῶναι πάντα, ὡς ὑπέστη παρὰ τοῦ θεοῦ. Similes locos multi suppeditant. Simplicius in Epictet p. 175 ed. Salmas. τὰ σώματα ὑπέστη τὰ γινόμενα καὶ φθειρόμενα et p. 176 ὑπέστη τὰ ὑπὸ σελήνην. — 8. ἐπειδὴ] G. et Curt; ἐπεὶ M. — 8. τὴν ἀσώματον διακόσμησιν] Codd. GM. et R. Vulg. τὴν ἀθάνατον δ. Est autem ἀσώματος διακόσμησις nihil aliud quam τάξις τῶν λογικῶν γενῶν, ut in superioribus dixit. Ex his primo loco sunt ἀθάνατοι θεοί; qui quum non alii sint quam astra et planetae, ut supra demonstratum, non ad ἀσώματον διακόσμησιν, sed ad σωματικὴν potius pertinere videantur. At quum astra et planetae a Pythagoreis et Platonicis ζῷα νοερὰ dicerentur, quae animo aeque ac corpore praedita essent, Commentarii hujus auctor τὸ λογικὸν eorum h. l. ad ἀσώματον διακόσμησιν refert, corpus autem ad σωματικὴν in sequentibus. Itaque Comm. in vers. 67 hac utitur distinctione: τῶν ἄστρων τὸ μὲν ἄνω ἀσώματος οὐσία, τὸ δὲ κάτω σωματική. — 10. οὐσιῶν] v; οὐσίωναν S. — 12. τοῖς ἐν τάξει] Cod. Med; vS. male τοῖς τάξει. — 12. προϊοῦσιν ἐπὶ τὰς γνώσεις] Sic recte edidit N. ex A: ***ad rerum cognitionem procedunt.*** Codd. GV habent προϊοῦσιν ἐπὶ τὰς γνώμας. Vulg. legitur προςιοῦσιν ἐπὶ τὰς γνώσεις.

γνώσῃ δ', ᾗ θέμις ἐστί, φύσιν περὶ παντὸς ὁμοίην,
ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν.

Πρὸς τὴν θείαν εὐμετρίαν ἡ φύσις τὸν ἐμφανῆ κόσμον ἀποτυπουμένη, δι' ἀναλογίας τε αὐτὸν ἑαυτῷ πανταχοῦ διαφόρως ὡμοίωσε, καὶ τὸ θεῖον κάλλος ἐνεικονίσατο δι' ὅλων τῶν ἐγκοσμίων εἰδῶν ἄλλως καὶ ἄλλως· ὥστε οὐρανῷ μὲν ἀποδοῦναι τὸ ἀεικίνητον, γῇ δὲ τὸ μόνιμον, ἑκάτερον δὲ τούτων θείας ὁμοιώσεως ἴχνος ἀποφέρεσθαι. pag. 180. Καὶ τῷ μὲν οὐρανίῳ σώματι τὸ πέριξ τοῦ παντὸς ἀπένειμε, τῷ δὲ περιγείῳ τὸ κέντρον. Ἐν δὲ σφαίρᾳ ἄλλως μὲν τὸ κέντρον ἀρχή, ἄλλως δὲ ὁ τοῦ περιέχοντος ὅρος. Ὅθεν τὰ ἄνω μὲν ἄστροις πεποίκιλται, καὶ τοῖς μετ' ἐκεῖνα ζῴοις νοεροῖς· γῆ δὲ φυτοῖς ἐκοσμήθη, καὶ ζῴοις αἰσθήσει μόνῃ χρωμένοις. Μεσότης δὲ τῶν οὕτω διεστηκότων ὁ ἄνθρωπος ἐνορᾶται, ἀμφίβιός τις ὤν, καὶ ἔσχατος μὲν τῶν ἄνω, πρῶτος δὲ τῶν κάτω. Διὸ ποτὲ μὲν τοῖς ἀθανάτοις συμφέρεται, καὶ τῇ πρὸς νοῦν ἐπιστροφῇ τὴν οἰκείαν λῆξιν ἀπολαμβάνει· ποτὲ δὲ τοῖς θνητοῖς εἴδεσι συναγελάζεται, καὶ τῇ τῶν θείων νόμων ἐκβάσει τῆς προσηκούσης αὐτῷ ἀξίας ἀποπίπτει. Ὡς γὰρ ἔσχατος τῶν λογικῶν γενῶν, οὔτε ἀεὶ καὶ ὡσαύτως πέφυκε νοεῖν (οὕτω γὰρ οὐκ ἂν ἦν ἄνθρωπος, ἀλλὰ φύσει

5. ἑαυτῷ] M. et Curt; ἑαυτοῦ G. — 11. ἐν δὲ σφαίρᾳ ἄλλως μὲν τὸ κέντρον ἀρχὴ] Hierocles duo in sphaera principia inesse vult, centrum et lineam circumcurrentem. Ac centrum quidem, si sursum progrediaris, principium est, peripheria terminus, sin deorsum, peripheria est principium, centrum terminus. In eandem sententiam Philoponus de Creat. 1, 5 γῆ μὲν τὸ κέντρον παντὸς — καί ἐστι κάτωθεν ἀρχὴ πάντων ἡ γῆ, πέρας δὲ τούτων ὁ πάντα περιέχων οὐρανός· τοὔμπαλιν δὲ ἄνωθεν, ἀρχὴ μὲν ὁ οὐρανός, πέρας δὲ πάντων ἡ γῆ. — 12. ἄνω μὲν] G. et Curt; ἄνωθεν MCh. — 15. ἄνθρωπος] v; ἄνθρωπον S. — 15. ἀμφίβιος] G; vulgo ἀμφίσβιος. — 16. διὸ ποτὲ μὲν] Codd. G. et M, ut conjecerat Davisius. A: interpretans ***quoniam est primus*** videtur legisse διὸ πρῶτος μέν. Vulgo διὸ πρῶτον μέν. — 17. τῇ πρὸς νοῦν ἐπιστροφῇ] Sic edidit Curterius neque aliter Aurispa in illo quod expressit exemplo videtur legisse. Needhamius Dacerium secutus e Codice Mediceo Hieroclis verba auxit. In illo enim libro [ut in S et Ch] reperitur τῇ πρὸς νοῦν καὶ ἀρετὴν ἐπιστροφῇ, quod commode abesse potest. — 20. ἀεὶ καὶ ὡσαύτως] Cod. Med. et S; vulgo ὡσαύτως καὶ ἀεί. — 21. οὕτω γὰρ οὐκ ἂν ἦν ἄνθρωπος] Codd. G et A: ***quippe si semper intelligeret, non esset homo, sed naturaliter deus.*** Vulg. οὔτε γὰρ ἦν.

θεός·) οὔτε ἀεὶ νοεῖν δύναται, εἰ καὶ μὴ ὡσαύτως· τοῦτο γὰρ αὐτὸν εἰς τὴν ἀγγέλων καθίστησι τάξιν. Νῦν δέ ἐστιν ἄνθρωπος ὁμοιώσει μὲν πρὸς τὸ βέλτιον ἀχθῆναι δυνάμενος, φύσει δὲ ὑποβεβηκὼς τῶν ἀθανάτων θεῶν, καὶ τῶν ἀγαυῶν ἡρώων, ὡς ἐγκοσμίων πρώτων καὶ μέσων γενῶν. Ὥσπερ γὰρ τούτων ὑπέβη τῷ μὴ ἀεὶ νοεῖν, ἀλλ' ἐν ἀγνοίᾳ ποτὲ καὶ λήθῃ γίνεσθαι τῆς ἑαυτοῦ οὐσίας, καὶ τῆς θεόθεν κατιούσης εἰς αὐτὸν ἐλλάμψεως· οὕτω τῷ μὴ μένειν ἀεὶ ἐν τῇ ἀγνοίᾳ ὑπερέχει ζῴων ἀλόγων καὶ φυτῶν, καὶ ὅλης τῆς περιγείου καὶ θνητῆς φύσεως ἀναβέβηκε κατ' οὐσίαν, ὡς ἐπιστρέφειν πρὸς τὸν θεὸν πεφυκώς, καὶ ἀναμνήσει τὴν λήθην ἀφανίζειν, καὶ διδασκαλίᾳ προςλαμβάνειν ἃ ἀπέβαλε, καὶ τὴν ἄνωθεν φυγὴν τῇ ἀντιστρόφῳ φυγῇ
pag. 182. ἰᾶσθαι. Προσήκει οὖν τῇ ἀνθρωπίνῃ οὐσίᾳ τοιαύτῃ οὔσῃ, γνῶναι τὴν σύστασιν τῶν ἀθανάτων θεῶν θνητῶν τ' ἀνθρώπων· τουτέστι, τῶν λογικῶν γενῶν τὴν διάταξιν· γνῶναι δὲ καὶ τὴν φύσιν, τὴν περὶ παντὸς ὁμοίην· τουτέστι, τὴν σωματικὴν οὐσίαν, τὴν ἄνωθεν μέχρι τῶν τελευταίων δι' ἀναλογίας καὶ ἐμφάσεως θείας κοσμηθεῖσαν· γνῶναι δὲ ταῦτα πάντα ᾗ θέμις ἐστί, τοῦτ' ἔστι, νόμῳ ὡς διάκεινται, καὶ οὕτως ὡς ὑπέστη παρὰ τοῦ θεοῦ, καὶ ὃν τρόπον τοῖς ἐκείνου νόμοις ἐστὶ διατεταγμένα, εἴτε σώματα, εἴτε ἀσώματα. Κατὰ κοινοῦ γὰρ ἐπ' ἀμφοτέρων τῶν ποιήσεων τὸ ᾗ θέμις ἐστίν, ἀκουστέον.

1. μὴ] G. et Curt; om. M. — 2. ἀγγέλων] i. e. ἡρώων. Nam promiscue et heroes et angeli vocantur. Itaque in Comm. ad vers. 2 pro δεύτερον i. e. τὸ τῶν ἡρώων γένος quod suppeditat cod. Med. in aliis libris reperitur ἀγγελικόν. Cf. adn. ad p. 37. Quod reliquum est ἀγγέλων praebet hic exemplar Mediceum pro vulgata scriptura ἀγγέλου, quam et ipsam ferri posse liquet. — 5. ὡς] G. et Curt; om. M. — 5. γὰρ] MCh; δὲ G. et Curt. — 6. τῷ] M. et Curt; τὸ G. — 7. ἑαυτοῦ] G. et Curt; αὐτοῦ MS. — 10. τὸν] Curt. et G; om. M. — 13. τοιαύτῃ οὔσῃ] Codd. MG. et R; vulg. om. — 14. τῶν ἀθ.] v; ἀθ. τε SCh. — 14. τ'] M. et Curt; τε G. — 16. τὴν σωματικὴν] G. et Curt; ἐπὶ τῶν σωμάτων M. — 18. ταῦτα πάντα] v; πάντα ταῦτα S. — 19. τοῦτ' ἔστι, νόμῳ ὡς διάκειται, καὶ οὕτως] GM. Vulgo omissis verbis τοῦτ' ἔστι legitur νόμῳ ὡς διάκειται, οὕτως. — 20. τοῖς ἐκείνου νόμοις] v; τῆς — ἐ. γνώμης V. Mh. — 22. τὸ ᾗ θέμις ἐστίν, ἀκουστέον] Curterius edidit [ut est in S] τὸ γνῶναι δεῖ, ᾗ θέμις ἐστίν, unde Needhamius probata Bentleji sententia τὸ γνῶναι δ', ᾗ θέμις ἐστίν effecit, in quibus verbis δὲ post γνῶναι abundat, nisi forte ipsa carminis verba mavis τὸ γνώσῃ δ', ᾗ θέμις ἐστίν. Longe potiorem lectionem expressit Aurispa: ***communiter enim in utrisque intel-***

Οὐ γὰρ ἀλογίστοις προθυμίαις εἴκοντας μεταφέρειν δεῖ τὴν ἀξίαν τῶν πραγμάτων πρὸς τὸ ἡμῖν δοκοῦν· ἀλλὰ τοῖς τῆς ἀληθείας ὅροις ἑπομένους γινώσκειν τὰ ὄντα πάντα, ᾗ θέμις ἐστί, καὶ ὡς ὁ τῆς δημιουργίας θεσμὸς ὥρισεν ἕκαστα. Ἐκ δὲ τούτων τῶν δύο γνώσεων, τῆς τε περὶ τὴν ἀσώματον ποίησιν τοῦ θεοῦ, καὶ τῆς περὶ τὴν σωματικήν, κάλλιστον ἐπανθεῖ πόρισμα, τὸ μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν. Ἐκ γὰρ τοῦ λανθάνειν ἡμᾶς τὴν οὐσίαν τῶν πραγμάτων ἀπογίνεται καὶ τὸ ἄελπτ' ἐλπίζειν, καὶ τὸ ἀδύνατα περινοεῖν. Οἷον, εἴ τις ἄνθρωπος ὢν τῶν ἀθανάτων θεῶν ἐλπίζει γενέσθαι, ἢ τῶν ἀγαυῶν ἡρώων· οὗτος οὐκ οἶδε τοὺς ὅρους τῆς φύσεως, οὔτε τῶν ὄντων πρῶτα καὶ μέσα καὶ ἔσχατα διεστείλατο. Καὶ πάλιν, εἴ τις τὴν ἑαυτοῦ ψυχὴν συναποθνήσκειν οἴεται τῷ θνητῷ σώματι, ἀγνοίᾳ τῆς προσούσης ἀθανασίας τῇ ἡμετέρᾳ ψυχῇ, προσδοκᾷ ἃ μὴ δεῖ, μηδὲ οἷά τε γενέσθαι. Ὁμοίως δὲ καὶ ὁ θηρίου μεταμφιάσασθαι σῶμα ἐλπίζων,

ligere oportebit, quemadmodum fas est i. e. κατὰ κοινοῦ γὰρ ἐπ' ἀμφοτέρων τὸ ᾗ θέμις ἐστίν, ἀκουστέον. Nam quum de alterutro tantum genere verba ᾗ θέμις ἐστίν in carmine dicantur, (vs. 50 γνώσεαι ἀθανάτων κ. τ. λ. vs. 52 γνώσῃ δ', ᾗ θέμις ἐστί, φύσιν περὶ παντὸς ὁμοίην) monendum erat in utroque genere illa valere. Sunt vero ἀμφότερα h. l. τὰ ἀσώματα et τὰ σώματα. Neque tamen cum Curterio male legas ἀμφοτέρων τῶν ποιήσεων. Itaque cum Ashtono scripsi κατὰ κοινοῦ γὰρ ἐπ' ἀμφοτέρων τῶν ποιήσεων τὸ ᾗ θέμις ἐστὶν ἀκουστέον.

1. ἀλογίστοις προθυμίαις εἴκοντας] Curterius exhibet: ἀλογίστου προθυμίας ἑκόντας, quod Needhamius partim e conjectura partim e codd. Gall., ubi legitur ἀλογίστους προθυμίας ἑκόντας, convertit in ἀλογίστους προθυμίας ἔχοντας, quamvis melius conjecisset Davisius ἀλογίστῳ προθυμίᾳ εἴκοντας. Codd. MS. habent ἀλογίστοις προθυμίαις ἑκόντας, ubi pro ἑκόντας reponendum εἴκοντας. A. vertit: ***cupiditate sine ratione ductos.*** — 4. ὁ] v; om. S. — 7. λήθειν] v; λίθειν S. — 8. ἀπογίνεται] v; ἐπιγίνεται S. — 10. ἐλπίζει] v; ἐλπίζοι S. — 12. τῶν ὄντων πρῶτα] MG. et A: ***neque in rebus prima.*** Vulg. τῶν ἄλλων. — 13. τὴν] MG; om. Curt. — 13. ἑαυτοῦ] v; αὐτοῦ SVMh. — 15. οἷά τε γ.] Cod. Med; vulgo cum S. non male οἷόν τε γ. — 16. θηρίου μεταμφιάσασθαι σῶμα] M; μεταμφι$\overset{\alpha}{\varepsilon}$σασθαι S. Hunc humanarum animarum in brutorum animalium corpora transitum Pythagoras docuit (ut in vita ejus testatur Porphyrius) atque etiam Plato in Timaeo p. 42 et in Phaedone p. 81 εἰκὸς μέντοι — — — καὶ οὔ τι γε τὰς τῶν ἀγαθῶν ταύτας εἶναι, ἀλλὰ τὰς τῶν φαύλων, αἳ περὶ τὰ τοιαῦτα ἀναγκάζονται πλανᾶσθαι δίκην τίνουσαι τῆς προτέρας τροφῆς, κακῆς οὔσης. Καὶ μέχρι γε τούτου πλανῶνται, ἕως ἂν τῇ τοῦ ξυνεπακολουθοῦντος τοῦ σωματοειδοῦς ἐπιθυμίᾳ πάλιν ἐνδεθῶσιν εἰς σῶμα. ἐνδοῦνται δέ, ὥσπερ εἰκός,

pag. 184. καὶ ζῷον ἄλογον γενέσθαι διὰ κακίαν, ἢ καὶ φυτὸν δι' ἀργίαν αἰσθήσεως· καὶ οὗτος, ἀντιστρόφως τοῖς εἰς τὰ ἄνω γένη μεταβάλλουσι τὴν τοῦ ἀνθρώπου οὐσίαν, πρὸς τὰ κάτω αὐτὴν συνωθεῖ, πεπλανημένος καὶ μὴ νοῶν τὸ ἀμετάβλητον τοῦ κατ' οὐσίαν ὑπάρχοντος εἴδους τῇ ἀνθρωπίνῃ ψυχῇ. Ἀεὶ γὰρ μένουσα ἄνθρωπος, τῇ τῆς ἀρετῆς καὶ κακίας ἀνὰ μέρος κτήσει, θηρίον λέγεται ἢ θεὸς γίνεσθαι· φύσει δὲ οὐδέτερον, ἀλλὰ σχέσει τῆς πρὸς ἑκάτερον ὁμοιώσεως. Καὶ ὅλως ὁ τὴν προσοῦσαν ἀξίαν ἑκάστῳ τῶν ὄντων μὴ εἰδώς, ἀλλ' εἴτε ὑπερβάλλων αὐτῆς

εἰς τοιαῦτα ἤθη, ὁποῖ' ἄττ' ἂν καὶ μεμελετηκυῖαι τύχωσιν ἐν τῷ βίῳ. — — — οἷον τοὺς μὲν γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας καὶ μὴ διευλαβημένους εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι. Improbat hanc doctrinam Hierocles et hoc loco et in libro de providentia ap. Photium Cod. 214 et 251, ubi Platonem negat sic de his rebus statuisse. Ὅτι κατὰ Πλάτωνά φησι τὰς ἀνθρωπίνας μόνας ψυχὰς μετενσωματοῦσθαι, καὶ ταύτας οὐχ ἁπλῶς, ἐξ ἀνθρώπων δὲ μόνων εἰς ἀνθρώπους· ἐξ ἀλόγων δὲ ζῴων εἰς ἀνθρώπους μετάβασιν ἢ εἰς ἄλογα ἐξ ἀνθρώπων οὐδαμῶς αὐτόν φησι δοξάζειν. Sic etiam Proclus ad haec Platonis in Timaeo verba εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφικνεῖται pag. 329 (pag. 801 ed. Schneid.) adnotat: εἰ δ' οὖν καὶ ὅτι Πλατωνικὸς ὁ λόγος ὑπομνῆσαι χρή, παραθετέον, ὅτι τε ἐν Πολιτείᾳ τὴν ψυχὴν τοῦ Θερσίτου πίθηκον ἐνδύεσθαί φησιν, ἀλλ' οὐ σῶμα πιθήκειον, καὶ ἐν Φαίδρῳ κατιέναι εἰς βίον θήρειον, ἀλλ' οὐχὶ εἰς σῶμα θήρειον· ὁ γὰρ βίος μετὰ τῆς οἰκείας ἐστὶ ψυχῆς· καὶ ἐν τούτοις μεταβάλλειν εἰς θήρειον φύσιν· ἡ γὰρ θήρειος φύσις οὐκ ἔστι τὸ σῶμα τὸ θήρειον,· ἀλλ' ἡ ζωὴ τοῦ θηρίου. Non alia fuit Jamblichi in Μονοβίβλῳ de eodem philosophorum praecepto sententia, ut ait Nemesius cap. 2 p. 85 ed. Ox. Confer etiam Timaeum Locrum sub finem libri qui fertur περὶ ψυχᾶς κόσμω. Insignis apud Herodotum lib. II, 123 locus est de animorum immortalitete et migratione, cujus dogmatis auctores Aegyptios fuisse perhibet. De quo loco copiose nuper egit Bakhuizen van den Brink in Variis Lectionibus ex historia philosophiae antiquae (Lugd. Bat. 1842) p. 2 seqq. Adde Aeneae Gazaei Theophrast. p. 14. ed Barth. — 2. οὗτος] v; οὕτως S. — 2. γένη μεταβάλλουσι] G. et Curt; γενήματα βαλλ. Med. — 4. μὴ νοῶν] Cod. Med; reliqui ἀγνοῶν. — 6. τῇ] G. et Curt; om. M. — 6. τῆς] v; om. S. — 7. θηρίον λέγεται ἢ θεὸς γίνεσθαι] S; θεὸς ἢ θηρίον γενέσθαι λέγεται Curt. — 9. εἴτε] Loco vulgatae scripturae εἴς τι et pro librorum Gall. lectione εἴ τι Cod. Med. habet εἴτοι, quod quum Aurispa vertat *aut*, Ashtonus scribere non dubitavit ἤτοι, [ut est in S] id ut responderet sequenti ἢ, [quod desideratur in S] quemadmodum fit apud Platonem Phaedone p. 68. c. ἤτοι τὰ ἕτερα τούτων ἢ καὶ ἀμφότερα. Needhamius ἤ τι exaravit quod sententiae repugnat. Namque ut apud Platonem de legg. IV p. 719. d. οὔσης γὰρ ταφῆς τῆς μὲν ὑπερβεβλημένης, τῆς δὲ ἐλλειπούσης et apud Arist. Eth. Nic. II, 2 τά τε γὰρ ὑπερβάλλοντα γυμνάσια καὶ τὰ ἐλλείποντα φθείρει τὴν

ἢ ἐλλείπων, τὴν ἄγνοιαν ταύτην ἀφορμὴν τῆς ὑποκένου δόξης καὶ ἀέλπτου ἐλπίδος πεποίηται. Ὁ δὲ ἐν τοῖς δημιουργικοῖς μέτροις ἕκαστα ἀφορίζων, καὶ γιγνώσκων τὰ ὄντα, ᾗ γέγονε, καὶ παραμετρῶν τῷ θεῷ τὴν ἑαυτοῦ γνῶσιν· οὗτος τὸ Ἕπου θεῷ μάλιστα τηρεῖ, καὶ τὸ, Ἄριστον μέτρον, οἶδε, καὶ τῆς ἀνεξαπατήτου ἐλπίδος τυγχάνει.

ἰσχύν, ita in verbis Hierocleis καὶ ὅλως ὁ τὴν προσοῦσαν ἀξίαν ἑκάστῳ τῶν ὄντων, μὴ εἰδώς. ἀλλ' ἤτοι ὑπερβάλλων αὐτῆς ἢ ἐλλείπων τὴν ἄγνοιαν ταύτην ἀφορμὴν τῆς ὑποκένου δόξης καὶ ἀέλπτου ἐλπίδος πεποίηται simpliciter ὑπερβάλλειν et ἐλλείπειν opponuntur nulla nudo verbo vocula adjecta, qua ejus notio latissime patens intra terminos quosdam coerceatur. Ac fateor quidem recte dici ἤ τι ἐλλείπων αὐτῆς Xenophontis exemplo qui Cyrop. IV, 5, 49 simili utitur structura καίτοι γε ἀνδρείας καὶ προθυμίας οὐδὲν ἐλλείπων, ut transpositis tantum verbis ἀλλ' ἤ τι ὑπερβάλλων ἢ ἐλλείπων αὐτῆς opus sit ad locum in legitimam formam redigendum, sed scriptoris mente nudam verborum oppositionem flagitari certissimum est. In quo mirum videtur, quod Needhamius loci sensum non minus quam Ashtonus perspexit. Alter enim interpretatur: ***et omnino qui singulorum quae sunt dignitatem non novit, sed ipsam vel superat vel non assequitur, ignorantiam istam vanae opinionis aut falsae spei occasionem facit***, Ashtonus vero: atque ***in universum is qui entium cujusque dignitatem non novit, sed eam vel nimis attollit vel deprimit, ignorantiam hanc vanae opinionis et falsae spei occasionem facit.*** Verum ut ἤ τι ὑπερβάλλων poneret, inductus sine dubio est Needhamius genitivo αὐτῆς, cujus loco accusandi casum exspectabat. At genitivus quoque, licet raro, ὑπερβάλλειν verbo junctus reperitur; nam de altero nihil dubitationis est. Sic Il. ψ. vs. 847 τόσσον παντὸς ἀγῶνος ὑπέρβαλε. Quae quum ita se habeant, legendum aut cum Ashtono ἤτοι — ἢ aut quod ego malim εἴτε — ἤ, quia hoc modo si Gall. codd. scripturam spectas una tantum littera mutatur. Ita Plato in Phaedro p. 277. d. ὡς εἴτε Λυσίας ἤ τις ἄλλος πώποτε ἔγραψεν κ. τ. λ. 3. μέτροις] v; νόμοις μέτροις S. — 4. παραμετρῶν τῷ θεῷ τὴν ἑαυτοῦ γνῶσιν] M. et Ipl. G. Vulg. τὸν θεὸν τῇ ἑαυτοῦ. Similiter Plato de legg. IV pag. 716 ὁ θεὸς ἡμῖν πάντων χρημάτων μέτρον ἂν εἴη μάλιστα et Athenagoras libro qui Legationis nomine inscribitur οἷς ὁ βίος ὡς πρὸς στάθμην τὸν θεὸν κανονίζεται. — 4. τὸ Ἕπου θεῷ] Sic de Pythagoreis Jamblichus in vit. Pythag. ἅπας ὁ βίος συντέτακται πρὸς τὸ ἀκολουθεῖν τῷ θεῷ et Epictet. ap. Arrian. Diss. I, 12 τέλος ἐστὶ τὸ ἕπεσθαι θεῷ. Philo de Abr. migrat. τέλος ἐστὶ κατὰ τὸν ἱερώτατον Μωσῆν τὸ ἕπεσθαι θεῷ. Boëth. Consol. I, 4 Instillabis auribus meis Pythagoricum illud ἕπου θεῷ. — 5. καὶ τὸ, Ἄριστον μέτρον, οἶδε] Ita recte distinxit Ashtonus, quum antea uno tenore καὶ τὸ ἄριστον μέτρον οἶδε vulgaretur. Needhamius interpretatur: „is maxime et Deum sequitur, quod jubetur, et mensuram novit optimam et spem nanciscitur, quae nunquam vana erit." Contra Ashtonus: „is maxime illud ***Deum sequere*** observat et illud ***modus optimus*** novit, et spem concipit falli nesciam."

pag. 186. γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας
τλήμονας, οἵ τ' ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶσιν,
οὔτε κλύουσι· λύσιν δὲ κακῶν παῦροι συνίσασι.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας· ὡς δὲ κύλινδροι
ἄλλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες.
λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε
σύμφυτος, ἣν οὐ δεῖ προάγειν, εἴκοντα δὲ φεύγειν.

Τῆς τῶν ἀσωμάτων καὶ σωματικῶν γενῶν καλῶς γνωσθείσης διατάξεως, ἕπεται καὶ τὴν ἀνθρώπου οὐσίαν ἀκριβῶς γνωρίζεσθαι, οἵα τε οὖσα τυγχάνει, καὶ οἵων δεκτικὴ παθημάτων· καὶ ὅτι ἐν μεθορίῳ ἐστὶ τῶν τε ἀπτώτων εἰς κακίαν, καὶ τῶν πρὸς ἀρετὴν οὐ πεφυκότων ἀνάγεσθαι· διὸ καὶ ἐπαμφοτερίζει ταῖς σχέσεσιν, ὁτὲ μὲν ἐκεῖ ζῶσα τὴν νοερὰν εὐζωίαν, ὁτὲ δὲ ἐνταῦθα τὴν αἰσθητικὴν ἐμπάθειαν προςλαμβάνουσα. Ἔνθεν καὶ λέγεται ὀρθῶς ὑπὸ Ἡρακλείτου, ὅτι ζῶμεν τὸν ἐκείνων θάνατον, τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον. Κάτεισι γὰρ καὶ ἀποπίπτει τῆς εὐδαίμονος χώρας ὁ ἄνθρωπος, ὡς Ἐμπεδοκλῆς φησιν ὁ Πυθαγόρειος,

Est vero μέτρον ἄριστον proverbialis locutio *modus optima rerum.* Simplicius in Epictetum pag. 221 ed. Salmas. ποῦ ἂν εἴη τὸ, Μέτρον ἄριστον, εἰ μὴ ἐπὶ τῶν θείων, τῶν μετρούντων πάντα καὶ ὁριζόντων τοῖς ἀρίστοις ὅροις; Longinus fr. 3 τὸ δὲ μέτρον λέγεται πολλαχῶς. Καὶ γὰρ τὴν εὐμετρίαν μέτρον προςαγορεύομεν, ὡς ὁ εἰπών. Μέτρον ἄριστον· λέγεται δὲ μέτρον καὶ τὸ μετροῦν κ. τ. λ. — 6. ἀνεξαπατήτου ἐλπίδος] M. Vulgo male ἀνεξαπατήτου ἀπάτης. A: et sine errore manet. — 4. συνίσασι] G. et Curt; συνίασι S; συνιᾶσι M ut p. 194 et 196. Cf. adn. ad Carm. aur. v. 56. — 5. μοῖρα βροτῶν] G. et Curt; μοίρῃ αὐτῶν M. μοῖρ' αὐτῶν S. — 5. ὡς δὲ κύλινδροι] Em. N; cf. adn. ad aur. carm. vers. 57. vS. οἱ δὲ κυλίνδροις. — 7. λυγρὴ] G. et Curt; λυγρὰ MS. — 8. προάγειν] S; προςάγειν OG. Vide adn. ad carm. 60. — 13. οὐ] v; οὔτε S. — 14. ζῶσα — προςλαμβάνουσα] Cod. Med. i. e. ἡ τοῦ ἀνθρώπου οὐσία. Vulgo non male ζῶν — προςλαμβάνων i. e. ὁ ἄνθρωπος. — 16. ἔνθεν] Gaisf; ἔνθα v. — 16. Ἡρακλείτου] Idem Heracliti effatum servarunt Sext. Emp. Pyrrh. Hyp. pag. 157. C. Max. Tyr. pag. 260 ed. Davis. ubi male legi ζῶντας βίον pro θάνατον observat Gatakerus ad Marc. Ant. lib. IV sect. 46 indicans simul Clementis (Strom. lib. 6) eadem de re sententiam. Porphyr. de Antro Nymphar. p. 112 Heraclides Pont. ap. Gal. Mythol. p. 443 ed. Amst. Philo Alleg. leg. I fin. Cf. Macrob. in Somn. Scip. ib. I cap. 10. Heracl. fragm. 50 ap. Schleiermacherum. — 19. Πυθαγόρειος] v; Πυθαγόριος S.

— φυγὰς θεόθεν, καὶ ἀλήτης,
Νείκεϊ μαινομένῳ πίσυνος. —

Ἄνεισι δέ, καὶ τὴν ἀρχαίαν ἕξιν ἀπολαμβάνει, εἰ φύγοι τὰ περὶ γῆν καὶ τὸν — ἀτερπέα χῶρον, ὡς ὁ αὐτὸς λέγει,

Ἔνθα φόνος τε κότος τε καὶ ἄλλων ἔθνεα κηρῶν·

εἰς ὃν οἱ ἐμπεσόντες,

Ἄτης ἀν λειμῶνα κατὰ σκότος ἠλάσκουσι.

Ἡ δὲ ἔφεσις τοῦ φεύγοντος τὸν τῆς Ἄτης λειμῶνα πρὸς τὸν τῆς ἀληθείας ἐπείγεται λειμῶνα· ὃν ἀπολιπών, τῇ ὁρμῇ τῆς πτεροῤῥυήσεως εἰς γήινον ἔρχεται σῶμα ὀλβίου — αἰῶνος ἀμερθείς. Τούτοις δὲ καὶ ὁ Πλάτων ἐστὶ σύμφωνος, περὶ μὲν τῆς καθόδου ταυτὶ λέγων· ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι μὴ ἴδῃ, καί τινι συντυχίᾳ χρησαμένη πτεροῤῥυήσῃ τε καὶ ἐπὶ τὴν γῆν πέσῃ, τότε νόμος αὐτὴν εἰς ζῷον θνητὸν εἰσοικίζεσθαι. Περὶ

1. φυγὰς] Non recto Needhamius ait se poëticum νείκεϊ restituisse pro νείκει a prioribus editoribus vulgato, quum jam Curterius exhibeat νείκεϊ. Versus Empedoclei leguntur ap. Sturzium pag. 513, ap. Karstenium p. 84. Paulo post φύγοι τὰ περὶ γῆν debetur Codd. Gall et M; vulgo φεύξει. — 4. γῆν καὶ τὸν — ἀτερπέα χ.] S habet γῆναι τον; Cod. Med. αἰτῶν, quod corrupte pro καὶ τὸν scriptum videtur. Ashtonus putat restituendum esse θνητῶν ἀτερπέα χῶρον, quum εἰς θνητῶν τόπον paulo post legatur, quamquam ipse hoc nihil ad Empedoclem pertinere fatetur. — 4. ὁ αὐτὸς] S; αὐτὸς v. — 5. κότος] G. et Curt; σκότος M. — 6. ἐμπεσόντες Ἄτης ἂν λειμῶνα κατὰ σκότος ἠλάσκουσι] Cod. Med, ut B. scribendum conjectaverat, sed liber Renaudotianus ἐμπεσόντες Ἄτης ἀνὰ λειμῶνα τε καὶ σκότος ἠλάσκουσιν, quod recepit Needhamius; Ipl. codd. Gall. ἐν λειμῶνι κατὰ σκότον ἠλάσκουσιν, ut Synesius de Prov. I p. 89 D καὶ τὰς [ψυχὰς] ἐκ τῆς ἑτέρας μερίδος τρόπον τινὰ ἐξορμησαμένας φύσεως ἀνάγκῃ εἰς τοὺς συγγενεῖς αὐλισθῆναι κευθμῶνας,

ἔνθα φόνος τε κότος τε καὶ ἄλλων ἔθνεα κηρῶν
Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκουσιν.

Idem Epist. 148 p. 283 Οἶμαί σε καὶ πρὸ εὐχῆς εὖ πράττειν, ὅς γε ἀφεὶς τοὺς ἀνθρώπους ἡμᾶς, Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντας, καὶ ταῖς χθονίαις ἐγκαλινδουμένους φροντίσιν, αὐτὸς ἀνεχώρησας. Vulgo cum S. pro ἐμπεσόντες legitur ἐκπεσόντες. A: *qui incidunt.* — 8. Ἄτης] M. et Curt; om G. — 9. ἀπολιπών] M; ἀπολειπών Curt. — 9. τῇ ὁρμῇ] M. et Curt; om. G. — 10. αἰῶνος ἀμερθείς] Ita recte Codd. Gall; vulgo ante Needhamium male legebatur ἀμελθείς. — 11. δὲ] G. et Curt; om. M. — 11. Πλάτων — περὶ τῆς καθόδου] Vide Phaedrum p. 243. — 12. ταυτὶ] Curt; ταύτης M 1. 2. GSV. — 12. ἴδῃ] v; εἴδῃ S. — 14. αὐτὴν] G. et Curt; ταύτην MS. — 14. περὶ δὲ τῆς ἀνόδου] cf. Timaeum p. 42. Hic ὄχλον in prioribus edd. desideratum, quod tamen agnoscit Cod. Med. e Platone atque Ipl. et A: qui vertit

δὲ τῆς ἀνόδου ταῦτα· ὅτι τὸν ὕστερον προςφύντα ὄχλον ἐκ γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ πυρός, θορυβώδη καὶ ἄλογον ὄντα, λόγῳ κρατήσας ὁ ἄνθρωπος, εἰς τὸ τῆς προτέρας καὶ ἀρίστης
pag. 188. ἀφικνεῖται εἶδος ἕξεως· ὅτε καὶ εἰς τὸ σύννομον ἄστρον ἀνάγεται ὑγιὴς καὶ ὁλόκληρος γενόμενος. Ὑγιὴς μὲν τῇ τῶν παθῶν, ὡς νοσημάτων, ἀπαλλαγῇ, ὃ διὰ τῆς πολιτικῆς ἀρετῆς παραγίνεται· ὁλόκληρος δέ, τῇ νοῦ καὶ ἐπιστήμης, ὡς οἰκείων μερῶν, ἀναλήψει, ὃ διὰ τῆς θεωρητικῆς ἀληθείας κατορθοῦσθαι πέφυκε. Καὶ πάλιν, ὡς δέοι τῇ ἐντεῦθεν φυγῇ τὴν ἀπὸ τῶν κρειττόνων γενομένην ἀπόστασιν ἐξιάσασθαι, σαφῶς παρίστησι, φυγὴν τῶν τῇδε κακῶν τὴν φιλοσοφίαν ὁριζόμενος. Συμπεφυκέναι γὰρ τὰ πάθη μόνοις τοῖς θνητοῖς ἀποφαίνεται διὰ τούτων· ἀλλ' οὐδὲ ἀπολέσθαι τὰ κακὰ δυνατόν, οὔτε ἐν θεοῖς εἶναι, περὶ δὲ τόνδε τὸν τόπον καὶ τὴν θνητὴν φύσιν περιπολεῖ ἐξ ἀνάγκης. Τοῖς γὰρ ἐν γενέσει καὶ φθορᾷ πάντως που καὶ τὸ παρὰ φύσιν διατεθῆναι δύνασθαι παρέπεται· ὅπερ ἦν τῶν κακῶν ἀρχή. Πῶς δὲ δεῖ ταῦτα φεύγειν ἐπάγει· διὸ δεῖ ἐνθένδε ἐκεῖσε φεύγειν·

inhaerentem sordem N. addidit. Caeterum pro προςφύντα Cod. Med. male habet πρὸς φῶτα. — 1. ταῦτα] G. et Curt; ταύτης M. — 1. ὕστερον προςφύντα ὄχλον] S; ὄχλον προςφύντα ὕστερον vulgo. — 3. προτέρας] G. et Curt; πρώτης δὲ M. πρώτης SVMh. — 4. ὅτε καὶ εἰς τὸ σύννομον ἄστρον ἀνάγεται] Cod. Med et S; vulgo ὅτι καὶ εἰς ξύννομον ἄστρον ἄγεται. Libri Gallici: ὅτι καὶ εἰς ξύννομον ἄστρον ἄγεται. Sic Plato in Timaeo πάλιν εἰς τὴν τοῦ συννόμου πορευθεὶς οἴκησιν ἄστρου. — 6. ὃ] G. et Curt; ᾗ M. — 6. τῆς] G. et Curt; om. MS. — 7. νοῦ καὶ ἐπιστήμης] MG. et R; vulg. τῇ τῆς ἐπιστήμης; τῇ ante νοῦ om. S. — 7. οἰκείων μερῶν] i. e. δυνάμεων, ut ipse Hierocles aliquoties exponit. Cod. Med. et S h. l. male habent μέτρων. H. conj. πτερῶν. — 9. τὴν] G; vulg. om. — 10. ἐξιάσασθαι] MGCh; ἐξιᾶσθαι Curt. — 11. τὴν φιλοσοφίαν] Cod. Med. et S; reliqui τὴν omittunt. — 13. ἀπολέσθαι] M. et Plato Theaet. p. 176. Vulgo ἀπολέσαι. At non exstant apud Platonem simulque in ceteris codd. desunt quae post θεοῖς εἶναι habet M [et Mh] τὴν μὴ κεκαθαρμένην ψυχὴν ἐξιοῦσαν τοῦ σώματος. Idem codex τὰ κακὰ post ἀπολέσθαι omittit. In Vindob. τὰ ante κακὰ deest. — 13. τόνδε] v; om. S. — 14. περιπολεῖ] Ita scribendum pro vulgato περιπολεῖν, quia haec ipsa sunt Platonis verba in Theaeteto l. c. τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης. — 15. διατεθῆναι] v; διατεθεῖναι S. — — 17. φεύγειν] Cod. Med; vulgo bis φυγεῖν. S posteriore loco φυγεῖν. Medicei exemplaris scripturam ipse Plato confirmat qui loco citato φεύγειν habet. — 17. ἐνθένδε ἐκεῖσε] Pythagoricum et Platonicum harum vocum usum secutus est Hierocles. Sic Plato in Phaedone p. 80 migrationem e vita vocat τὴν ἐκεῖσε πορείαν. Genium enim singulis animis assignat, ᾧ δὴ προςτέτακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι, cui mandatum est, ut animos morientium ex hoc loco ubi vixerunt, ad inferos ducat.

φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ· ὁμοίωσις δέ, δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. Τὸν γὰρ ἀποδρᾶναι βουλόμενον τὰ κακὰ τὴν θνητὴν φύσιν πρῶτον ἀποστραφῆναι δεῖ· οὐ γὰρ οἷόν τε ταύτῃ συμπεφυρμένους μὴ καὶ τῶν ἑπομένων αὐτῇ κακῶν ἐξ ἀνάγκης ἀναπίμπλασθαι. Ὥσπερ οὖν ἡ θεόθεν φυγὴ καὶ ἡ πτερορρύησις τῶν κουφιζόντων ἡμᾶς πρὸς τὰ ἄνω πτερῶν εἰς τὸν τῶν θνητῶν ἤνεγκε τόπον, οἷς τὰ κακὰ συνεισέρχεται· οὕτω καὶ ἡ τῆς θνητῆς προσπαθείας ἀποβολή, καὶ ἡ τῶν ἀρετῶν, οἷον πτερῶν τινων, ἔκφυσις πρὸς τὸν τῶν κακῶν καθαρὸν τόπον, πρὸς τὴν θείαν εὐζωΐαν, ἡμᾶς ἀνάξει. Μέση γὰρ οὖσα ἡ τοῦ ἀνθρώπου οὐσία τῶν τε ἀεὶ νοούντων τὸν θεὸν καὶ τῶν μηδέποτε νοεῖν πεφυκότων ἄνεισί τε πρὸς ἐκεῖνα, καὶ κάτεισι πρὸς ταῦτα, νοῦ κτήσει καὶ ἀποβολῇ πρὸς τὴν θείαν ὁμοίωσιν καὶ τὴν θήρειον διὰ τὸ τῆς φύσεως ἀμφί-

1. ἀνθρώπῳ] G. et Curt; om. MS. — 2. ἀποδρᾶναι] MG; ἀποδράσαι Curt. — 3. κακὰ] G. et Curt; κατὰ M. — 4. δεῖ] G. et Curt; δεῖ ταῦτα M. — 4. ταύτῃ] G. et Curt; τούτοις M. — 5. αὐτῇ] G. et Curt; αὐτοῖς M. — 5. ἀναπίμπλασθαι] G. et Curt; ἐμπίπλασθαι M. — 7. πτερῶν] GM et A: ***pennarum quae nos ad superiora levabant lapsus***. Vulg. om. — 8. οὕτω καὶ ἡ] GM. et A; vulg. οὕτως οὖν ἡ. — 10. κακῶν καθαρὸν] Cod. Med. S item libri Gall. et Aurispa qui vertit ***aerumnis vacuum***. Sic et ipse Plato in Theaeteto p. 177. a., unde haec sumta sunt. Needhamius ineptam Curterii lectionem καλῶν καθαρὸν τόπον, cujus loco Ashtonus, si καλῶν vera scriptura esset, simpliciter τὸν τῶν καλῶν τόπον omisso καθαρὸν malebat, textui inserendam ratus est. Valet autem καθαρός cum genitivo id quod Latini purum ab aliqua re vel vacuum dicunt nec nisi de ***malis*** usurpatur. Plato de Rep. VI pag. 496. D: καθαρὸς ἀδικίας τε καὶ ἀνοσίων ἔργων. Idem Cratyl. p. 403. E. ψυχὴ καθαρὰ πάντων τῶν περὶ τὸ σῶμα κακῶν καὶ ἐπιθυμιῶν. Plutarch. Poplic. c. 12 καθαρὸν φόνου ἐποίησε τὸν κτείναντα τὸν τυραννεῖν βουλόμενον. Porphyr. de Abstin. II, 19 κακῶν καθαρὰ ψυχή et IV, 13 ψυχὴ ἀνοσίου κέρδους καθαρά. Joseph. Antiq. I, 4 γένος πονηρίας καθαρόν. Jamblichus Protrept. c. 2. κακίας, ὥσπερ κηλῖδος, καθαρόν. Ipse Hierocles postea αἰθέρα ἐλεύθερον, ὑλικῶν παθημάτων καθαρόν. Hinc patet ferri non posse τὸν τῶν καλῶν καθαρὸν τόπον, sed necessario requiri τὸν τῶν κακῶν καθ. τ. Ut hic, sic etiam apud Plotinum p. 768 A. memoratur ὁ τῶν κακῶν καθαρὸς τόπος. Est vero frequens vocum καλὸς et κακὸς confusio. Vid. Walz. Ep. Crit. p. 34 et quos citat Jahnius ad Jo. Glycae lib. de vera synt. rat. p. 82 Krüger. ad Dionys. Historiogr. pag. 30. Creuzer ad Plotin. de Pulchr. p. 293, Adnot. crit. ad Plot. Vol. I p. 109 col. 2 et Animadv. ad Plotin. p. 68. b. — 10. πρὸς] M; vulgo εἰς. — 12. τε] MG; vulg. om. — 14. θήρειον] G. et Cnrt; θηρείαν M.

pag. 190. βιον, ἀνὰ μέρος ἐπειγομένη. Ταῦτ᾽ οὖν ὁ περὶ τῆς ἀνθρωπίνης ἐγνωκὼς οὐσίας οἶδε πῶς αὐθαίρετα πήματ᾽ ἔχουσιν οἱ ἄνθρωποι, καὶ πῶς τλήμονες καὶ τάλανες ταῖς ἑαυτῶν αἱρέσεσι γίνονται. Ποτὲ μὲν γάρ, ἔτι δυνάμενοι μένειν ἐκεῖ, προπετείᾳ ὁρμῆς εἰς γένεσιν κατασύρονται· ποτὲ δέ, δυνάμενοι θᾶσσον ἐντεῦθεν ἀπολύεσθαι, αὐτοὶ ἑαυτοὺς ταῖς ἀμετρίαις τῶν παθῶν καταπλέκουσι. Καὶ τοῦτο ἦν τὸ τῶν ἀγαθῶν πέλας ὄντων μήτε ὁρᾶν μήτε ἀκούειν· ἵνα ἀγαθὰ μὲν ἀρετὴ καὶ ἀλήθεια νῦν λέγηται· τὸ δὲ μὴ ὁρᾶν πέλας ὄντα, τὸ μὴ δι᾽ ἑαυτοῦ ἀνακινεῖσθαι πρὸς εὕρεσιν τῶν καλῶν· καὶ τὸ μὴ ἀκούειν, τὸ ταῖς παρ᾽ ἄλλων διδασκαλίαις μὴ ὑπήκοον γίνεσθαι. Διπλῆ γὰρ ἡ τῆς ἐπιστήμης ἀνάληψις· ἡ διὰ μαθήσεως, ὡς δι᾽ ἀκοῆς· ἢ δι᾽ εὑρέσεως, ὡς δι᾽ ὁράσεως. Αὐθαίρετα οὖν πήματα ἔχειν λέγονται οἱ μήτε μανθάνειν παρ᾽ ἄλλων μήτε εὑρίσκειν δι᾽ ἑαυτῶν ἐθέλοντες, ὡς τῆς συναισθήσεως τῶν ἀγαθῶν ἀμοιροῦντες, καὶ διὰ τοῦτο πάντη

1. ἐπειγομένη] M; vulgo οἰκειουμένη. — 1. ταῦτ᾽ οὖν ὁ] G. et Curt; ὁ ταῦτ᾽ οὖν M. — 4. μὲν] Codd. G. et M; vulg. deest. — 5. ἐκεῖ] i. e. apud superos. Ita paulo ante: ἐκεῖ ζῶν τὴν νοερὰν εὐζωΐαν. — 5. εἰς γένεσιν] i. e. εἰς τὸν τῶν θνητῶν τόπον, quem supra τὸν κόσμον τὸν ὑποκάτω σελήνης vocaverat. Proclus in Platonis Timaeum p. 108 (p. 257 ed. Schneid.) ἔνιοι μὲν γένεσιν τὸν ὑπὸ σελήνην τόπον ἀκούσαντες τὸ πᾶν εἰρήκασι τὸν ὅλον κόσμον. Hac ratione ipse Proclus τὸ οὐράνιον saepenumero opponit τῷ ὑπὸ σελήνην sive τῷ ἐν τῇ γενέσει. Eodem modo hac voce utitur Ocellus de Universi natura cap. II pag. 159 ed. nostr. ἐπεὶ δὲ ἐν τῷ παντὶ τὸ μέν τοι γένεσις, τὸ δὲ αἰτία γενέσεως, καὶ γένεσις μὲν ὅπου μεταβολὴ καὶ ἔκβασις τῶν ὑποκειμένων, αἰτία δὲ γενέσεως ὅπου ταὐτότης τοῦ ὑποκειμένου· φανερὸν ὅτι περὶ μὲν τὴν αἰτίαν τῆς γενέσεως τὸ ποιεῖν καὶ τὸ κινεῖν ἐστι, περὶ δὲ τὸ δεχόμενον τὴν γένεσιν τό τε πάσχειν καὶ τὸ κινεῖσθαι. Αἱ δὲ μοῖραι αὐτοῦ διορίζουσι καὶ τέμνουσι τό τε ἀειπαθὲς μέρος τοῦ κόσμου καὶ τὸ ἀεικίνητον. Ἰσθμὸς γάρ ἐστιν ἀθανασίας καὶ γενέσεως ὁ περὶ τὴν σελήνην δρόμος. Τὸ μὲν ἄνωθεν ὑπὲρ ταύτης πᾶν καὶ τὸ ἐπ᾽ αὐτῆς θεῶν κατέχει γένος, τὸ δ᾽ ὑποκάτω σελήνης, νείκους καὶ φύσεως. — 5. κατασύρονται] M. et Curt; παρασύρονται G. — 6. θᾶσσον] G. et Curt; θᾶττον MS. — 6. ἀμετρίαις τῶν παθῶν] Codd. GM. et R ut pag. 8, 16 et 162. Vulgo ἀμεριμνίαις. — 10. εὕρεσιν] M. et Curt; αἵρεσιν G. — 12. διπλῆ γὰρ —] Idem prope Platonis hac de re judicium in Phaedone p. 85. C. δεῖν γὰρ περὶ αὐτὰ ἕν γε τι τούτων διαπράξασθαι, ἢ μαθεῖν ὅπῃ ἔχει ἢ εὑρεῖν κ. τ. λ. — 16. ἀμοιροῦντες] G; ἄμοιβοι ὄντες M; leg. ἄμοιροι ὄντες.

ἀχρεῖοι. Ὅς γὰρ ἂν μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου λέγοντος ἐν θυμῷ βάλληται, ἐκεῖνος δ' αὖτ' ἀχρήϊος ἀνήρ. Οἱ δὲ περὶ τῶν ἀγαθῶν μανθάνειν τε καὶ εὑρίσκειν ἔργον πεποιημένοι, οὗτοί εἰσιν οἱ τῶν κακῶν τὴν λύσιν συνιέντες, καὶ φυγῇ τῶν τῇδε πόνων εἰς τὸν ἐλεύθερον αἰθέρα μετοικιζόμενοι. Ὀλίγοι δέ εἰσιν οἱ τοιοῦτοι. Οἱ γὰρ πλεῖστοι κακοί, καὶ τῆς θνητῆς προςπαθείας ἥττους, καὶ φρενοβλαβεῖς ὑπὸ τῆς εἰς γῆν νεύσεως γενόμενοι· ὡς καὶ τοῦτο παρ' ἑαυτῶν τὸ κακὸν ἔχειν, διὰ τὸ βουληθῆναι φυγεῖν ἀπὸ θεοῦ, καὶ ἀπομερίσαι αὐτοὺς τῆς τούτου ὁμιλίας, ἧς εὐτύχουν ἐν αὐγῇ καθαρᾷ διάγοντες. Τὸν γὰρ ἀπὸ θεοῦ χωρισμὸν ἡ βλάπτουσα τὰς φρένας μοῖρα νῦν δηλοῖ. pag. 192. Οὐ γάρ ἐστιν ἢ μὴ ἀνοηταίνειν τὸν τοῦ θεοῦ γενόμενον ἔρημον, ἢ μὴ ἔρημον εἶναι θεοῦ, τὸν εἰς ἄνοιαν ἐκπεσόντα. Τὸν γὰρ ἀνόητον ἀνάγκη καὶ ἄθεον εἶναι, καὶ τὸν ἄθεον ἀνόητον.

1. ὃς γὰρ — ἀχρήϊος ἀνήρ] v; pro λέγοντος Mh ἀκούων ut ap. Hesiod. Op. et D. vs. 294 ὃς δέ κε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ. — 2. ἐκεῖνος] G. et Curt; κεῖνος MS. — 2. ἀχρήϊος] M. et Curt; ἀχρίηος G. — 2. περὶ τῶν ἀγαθῶν μανθάνειν τε] Cod. Med. habet παρὰ τῶν ἀγαθῶν μανθάνοντες. At sententia flagitat παρὰ τῶν ἄλλων, quod praestat vulgatae scripturae περὶ τῶν ἀγαθῶν; nam refertur ad superiora μανθάνειν παρ' ἄλλων. Itaque Ashtonus legendum esse suspicabatur οἱ παρὰ τῶν ἄλλων μανθάνειν τε καὶ εὑρίσκειν ἔργον πεποιημένοι. — 4. τῶν τῇδε πόνων] Codd. et A. ut p. 204 et 210. B. conj. τῶν τῇδε τόπων. cf. p. 204 et 220. — 5. τὸν] GM; τὸ Curt. — 5. μετοικιζόμενοι] G; κατοικιζόμενοι M. — 6. θνητῆς προςπαθείας] Needh. ex Ipl. G. ut p. 192, 204 et 220 quamquam in Codd. G. est θνητοῖς; vulgo τῆς προςπαθείας. — 7. τῆς εἰς] G. et Curt; τῆς θνητῶν εἰς M. — 8. κακὸν] G. et Curt; κακῶς M. — 9. αὐτοὺς] G; ἑαυτοὺς SM; αὑτοὺς Curt. — 10. εὐτύχουν] G. et Curt; ηὐτύχουν MS. — 11. θεοῦ] v; τοῦ θ. S. — 11. ἡ βλάπτουσα τὰς φρένας μοῖρα νῦν δηλοῖ] Cod. Med. et S. Eadem fere lectio est in libb. Gall. (ἡ βλάπτουσα) atque in exemplari Renaudotiano, nisi quod in his additur ἡ πρὸς γῆν νεῦσις post μοῖρα, omittitur autem νῦν. Vulgata Curterii scriptura fuit χωρισμὸν βλάπτοντα τὰς φρένας ἡ πρὸς γῆν νεῦσις δηλοῖ. Non male quidem Dacerius existimat ἡ πρὸς γῆν νεῦσις esse interpretamentum nominis μοῖρα, sed refragari videtur huic opinioni ipse Hierocles verbis praegressis: φρενοβλαβεῖς ὑπὸ τῆς εἰς γῆν νεύσεως γενόμενοι atque iis quae infra leguntur εἰς ἄνοιαν καὶ ἀπροβούλευτον αἵρεσιν ὁ ἀπὸ τῶν κρειττόνων χωρισμὸς ἄγει, ὃν διὰ τῆς λυγρᾶς μοίρας ᾐνίξατο, τῆς ποιούσης ἡμᾶς ἔξω τοῦ θείου χοροῦ τῇ πρὸς τὸ μερικὸν καὶ τὸ θνητὸν ζῶον νεύσει. Hinc Needhamius conjecit: τὸν γὰρ ἀπὸ θεοῦ χωρισμὸν ἡ βλάπτουσα τὰς φρένας μοῖρα τῇ πρὸς γῆν νεύσει δηλοῖ. At ego in Codicis Medicei scriptura acquiesco. — 12. ἐστιν ἢ μὴ] v; ἐστιν ὃ μὴ H. — 12. τοῦ] M. et Curt; ἐκ GS.

Ἀμφότεροι δέ, ὡς μὴ πρὸς τὸν ἔρωτα τῶν καλῶν ἐγηγερμένοι, ἀπείρονα πήματ' ἔχουσιν, οἷον κύλινδροι ταῖς καταγώγοις πράξεσιν ἄλλοτε ἄλλοις κακοῖς συμφερόμενοι, καὶ μὴ ἔχοντες ὅ, τι χρήσονται ἑαυτοῖς, διὰ τὸ πάσαις ταῖς τύχαις ἀπαιδεύτως προσφέρεσθαι· νῦν μὲν ἐξυβρίζοντες ἐν πλούτῳ, νῦν δὲ ἐν πενίᾳ κακουργοῦντες, καὶ πρὸς λῃστείαν μὲν ὑπὸ ῥώμης σώματος ἐκφερόμενοι, πρὸς δὲ βλασφημίαν ὑπὸ ἀσθενείας καὶ νοσημάτων· τήν τε ἀπαιδίαν ὀδυρόμενοι, καὶ τὴν πολυπαιδίαν ἀφορμὴν πολέμων καὶ αἰσχροκερδείας ποιούμενοι. Καὶ ἁπλῶς εἰπεῖν, οὐκ ἔστι τι τῶν ἐν τῷ βίῳ, ὃ μὴ πρὸς ἀφορμὴν κακοῦ τοῖς ἀνοήτοις γίνεται, πανταχόθεν στενοχωρουμένοις ὑπὸ τῆς αὐθαιρέτου κακίας, καὶ τοῦ μὴ ἀναβλέπειν πρὸς τὸ θεῖον φῶς, μηδ' ἐπαΐειν ἐθέλειν τῶν ὄντως ἀγαθῶν· ἀλλὰ καταδεδυκότας εἰς τὴν θνητὴν προσπάθειαν ὡς ἐν κλύδωνι τῷ βίῳ φέρεσθαι. Τούτων δὲ λύσις μία ἡ πρὸς θεὸν ἐπιστροφή, ἣν ἐξευρίσκουσιν οἱ τὸ ὄμμα τῆς ψυχῆς καὶ τὸ οὖς πρὸς τὴν τῶν ἀγαθῶν ἀνάληψιν ἐπεγείροντες, καὶ τὸ παρεπόμενον τῇ οὐσίᾳ ἡμῶν κακὸν τῇ ἀναγωγικῇ δυνάμει θεραπεύοντες. Ἦν δὲ συμφυὲς ἅμα καὶ ἐπίκτητον ἡμῖν κακὸν ἡ τοῦ αὐτεξουσίου παρὰ φύσιν κίνησις, καθ' ἣν ἐρίζειν τε καὶ ἐναντιοῦσθαι τοῖς θείοις νόμοις πειρώμεθα, οὐδὲ ἐπαισθανόμενοι ὅσον ἑαυτοὺς βλάπτομεν διὰ τοῦ δοκεῖν ἀντιτείνειν θεῷ· ἀλλὰ μόνον
pag. 194. τοῦτο τυφλῶς ὁρῶντες, ὅτι ἐδυνήθημεν ἀφηνιάσαι τῶν ἐκείνου θεσμῶν. Καὶ τοῦτο ἦν τὸ πολλῷ τῷ αὐτεξουσίῳ χρήσασθαι καὶ ἀμέτρῳ, τὸ τολμᾶν ἀφίστασθαι θεοῦ, καὶ τὴν λυγρὰν ἔριν πρὸς αὐτὸν ἀναδέχεσθαι, καθ' ἣν ἐρίζομεν τρό-

1. ὡς μὴ — ἐγηγερμένοι] Curter; libri Gall. et S male οἱ μὴ — ἐγηγερμένοι; Med. εἰ μὴ — ἐγηγερμένοι. — 2. κύλινδροι] Corr. N; vulg. κυλίνδροις. — 4. χρήσονται] G et Curt; χρήσωνται M. Male conj. H. στήσονται ἑαυτούς. — 9. αἰσχροκερδείας] M. et Curt: αἰσχροκερδίας G. — 10. οὐκ ἔστι τι τῶν ἐν τῷ βίῳ, ὃ μὴ πρὸς ἀφορμὴν κακοῦ] Cod. M et H; οὐκ ἔστι τι τῶν ἐν τῷ βίῳ, ὃ μὴ πρὸς κακοῦ GS. Vulgo οὐκ ἔστι τῶν ἐν τῷ βίῳ, ὃ μὴ πρὸς κακοῦ. A. vertit: ***nihil est earum rerum quae in hac vita versantur, quod stulti non depravent.*** — 13. ἐπαΐειν] v; ἐπαίνειν S. — 17. ἐπεγείροντες] G. et Curt; ἐγείροντες MS. — 18. θεραπεύοντες] VG; θεραπεύσαντες M. et Curt. — 21. οὐδὲ] M; οὐδὲν G. et Curt. — 24. τὸ] G. et Curt; om. M. — 25. ἀμέτρῳ] G. et Curt; ἀμέτρως MV. — 25. τὸ] v; τῷ S. — 25. ἀφίστασθαι] G. et Curt; ἐξίστασθαι M. — 26. αὐτὸν] v; αὐτ̂ S.

πον τινὰ καὶ φιλονεικοῦμεν, ἐκείνου λέγοντος, Μὴ ποιήσῃς τόδε, τοῦτο αὐτὸ μάλιστα ποιεῖν ἐθέλειν· καὶ πάλιν αὖ, εἰ ἐκεῖνος λέγοι, Ποίησον τόδε, αὐτὸ τοῦτο μὴ ποιεῖν· ἵνα ἑκατέρωθεν τῆς ἀθλιότητος ἑαυτοὺς πληρώσωσιν οἱ τὸν θεῖον νόμον ἐκβαίνοντες, τῷ τε μὴ ποιεῖν τὰ προστεταγμένα, καὶ τῷ ποιεῖν τὰ ἀπηγορευμένα. Τί οὖν πρὸς τὴν λυγρὰν ταύτην ἔριν, τὴν συνοπαδὸν ἅμα καὶ σύμφυτον λεγομένην, ἐξευρήσομεν, τὴν ἐκ τοῦ ἐφ' ἡμῖν παρὰ φύσιν διατεθέντος ἐγειρομένην, καὶ διὰ τοῦτο, ὡς οἰκεῖον κακόν, λεληθότως βλάπτειν πεφυκυῖαν; Τί πρὸς ταύτην ἀντιτιθέναι δεῖ; τί τοῦ μαινομένου νείκους ἄκος ἐξευρεῖν; τί τῆς καταγωγοῦ δυνάμεως ἔργμα, ἢ τὸ πονεῖν ταῦτα, καὶ

3. λέγοι] G. et Curt; λέγῃ M. — 4. ἑαυτοὺς] v; ἑαυτοῦ S. — 4. πληρώσωσιν] G. et Curt; πληρώσωμεν M. — 4. τὸν θεῖον νόμον ἐκβαίνοντες] Curterius; τὸν θεῖον ὅρον ἐκβ. G; in Mediceo et S est τῶν θείων ὅρων ἐκβαίνοντες, quae omnia recte dicuntur. — 5. τῷ τε] v; τότε S. — 5. τῷ] G. et Curt; τοῦ MS. — 6. ἔριν] Cod. M; vulgo omittitur haec vox, quam Curterius deesse sentiens post σύμφυτον collocavit. A: quid igitur ad defensionem contra hanc aerumnosam sequacem et ingenitam nobis litem inveniemus? — 7. λεγομένην] Deest haec vox, quam Curterius et codd. GS exhibent, in libro Mediceo atque in Aurispae interpretatione. — 8. τοῦ ἐφ' ἡμῖν] Cod. Med et S; vulgo τοῦ ἐν ἡμῖν. Valet autem τὸ ἐφ ἡμῖν idem quod τὸ αὐτεξούσιον. Sic supra ἡ τοῦ αὐτεξουσίου παρὰ φύσιν κίνησις et infra τὸ αὐτεξούσιον κίνημα παρὰ φύσιν διατεθέν. — 10. τί πρὸς ταύτην ἀντιτιθέναι δεῖ] Codd. G. et A. Vulgo τί πρὸς αὐτὴν ἀ. δ; sed MCh habet τί οὖν πρὸς ταύτην; — 10. τί τοῦ μαινομένου νείκους ἄκος ἐξευρεῖν;] Cod. M 1. 2. SV; εὑρεῖν G. Vulgo tanquam hemistichium scribitur μαινομένου νείκους ἄκος εὑρεῖν; quod praeter alios Curterius et Needhamius fecerunt. At ipsius Hieroclis haec esse verba, quibus Empedocleum illud (cf. supra p. 186 ed. Needh.) νείκεϊ μαινομένῳ πίσυνος spectaverit, praesertim quum ἄκος etiamsi raro in soluta oratione, interdum tamen apud philosophos inveniatur, satis liquere arbitror. Itaque Codicem Mediceum sequendum duximus, in quo nullis hemistichii vestigiis relictis omnia uno tenore continuantur. Deinde praestat ἐξευρεῖν simplici εὑρεῖν, quod in plerisque libris comparet. Quippe εὑρεῖν ἄκος est remedium invenire, quod de eo dicimus cui nullo negotio mentis viribus remedium contingit: contra ἐξευρεῖν ἄκος est reperire remedium, quod fit multa ac diuturna meditatione. In eandem fere sententiam Graecus Aristophanis equitum interpres: εὑρεῖν ἁπλῶς τῆς παρασχούσης τύχης ἔργον ἐστίν; Phavorinus vero ἐξευρεῖν τὸ σκέψει καὶ μηχανῇ εὑρίσκειν esse dicit. — 11. ἔργμα] Curterius in margine, quod vel conjecit vel e membranis petiit. Certe in codice Veneto quem olim contulit Aurispa haec vox exstare videtur, quum ille vertat: ***ad frenandas vires.*** Est autem ἔργμα sive ἕργμα impedimentum, sufflamen, septum et quasi frenum, ut Aurispae verbo utar. Hesych. ἔργει, κωλύει. ἔργμασι, κωλύμασι. ἔργματα, φράγματα. Pollux V, 29 κωλύματα,

ἐκμελετᾶν, καὶ ἐν ἔρωτι τίθεσθαι, ἅπερ τῆς θείας ἀρετῆς ἡμᾶς εἰς ἴχνια θήσει; Ταῦτα γὰρ ἦν ἡ λύσις τῶν κακῶν, ἣν οἱ παῦροι συνίσασι· ταῦτα ἡ τῶν πέλας ὄντων ἀγαθῶν ἀκοὴ καὶ ὄψις· ταῦτα ἡ τῶν αὐθαιρέτων πημάτων ἀπαλλαγή· ταῦτα τῆς ἀπειρίας τῶν παθῶν ἡ τομή. Ταῦτα οὖν καὶ τῆς ἀθέου ἔριδος ἀποφυγὴ γένοιτ' ἄν, καὶ σωτηρία ψυχῆς, καὶ ἀποκάθαρσις τοῦ μαινομένου νείκους, καὶ ἀνάκλησις τῆς θεόθεν φυγῆς. Τὴν γὰρ καταγωγὸν ῥοπὴν τῇ ἀναγωγῷ δυνάμει μόνως ἂν ἰασαίμεθα, εἰ μὴ περαιτέρω προάγοιμεν αὐτήν, μηδ' ἐπὶ κακοῖς κακὰ συντιθείημεν, ἀλλ' ἐπιπειθεῖς γενόμενοι
pag. 196. τῷ ὀρθῷ λόγῳ φεύγοιμεν τὴν λυγρὰν ἔριν τῇ ἀγαθῇ ἔριδι, οὐ φιλονεικοῦντες ἀπειθεῖν τῷ θεῷ, ἀλλὰ φιλονεικοῦντες ὅτι μάλιστα αὐτῷ πείθεσθαι· ἣν οὐδὲ ἔριν δεῖ καλεῖν, ἀλλὰ θεοπειθῆ ὑπακοήν, καὶ ἐπιστροφὴν πρὸς τὸν θεῖον νόμον, καὶ ἑκούσιον ὑπόταξιν, τὰς ἀφορμὰς περικόπτουσαν τῆς ἀνοήτου

ἐμποδίσματα, ἐναντιώματα, ἔργματα. Adde Hippocratis et Aristotelis locos citatos in Thesaur. Parisiens. Vol. III pag. 1977 seq. Nihil autem aptius vocabulo ἔργμα quum sententia sit: „quid est quod vim deorsum agentem inhibeat, nisi ut ea agamus, meditemur et amemus quae nos in divinae virtutis via sistent? Cod. Med. habet ῥῆγμα *ruptio* quam vocem vestigia verae scripturae continere, non ipsam esse antiquam lectionem sponte patet. Curterius e suo codice male edidit ῥῆμα, quod est etiam in SVMh. M. Casaubonus denique, quem Needhamius sequitur, legendum suspicatus est ἴαμα propter carminis verba ἰᾶσθαι δὲ πρέπει κ.τ.λ. et Hieroclis locum qui infra legitur τὴν γὰρ καταγωγὸν ῥοπὴν τῇ ἀναγωγῷ δυνάμει μόνως ἂν ἰασαίμεθα. Non erat, quod Ashtonus Needhamium ob receptam hanc emendationem temeritatis argueret, etsi ἔργμα e libris scriptis depromtum Casauboni invento praestat. — 1. τίθεσθαι] v; θέσθαι S.

1. ἅπερ] M. et Curt; ὥσπερ G. — 1. ἡμᾶς εἰς ἴχνια θήσει] M, G in marg. et A: ***quae nos virtutis divae ad vestigia ponent.*** Vulgo deest ἡμᾶς. — 2. ἦν ἡ λύσις τῶν κακῶν] G; ἦν λύσις ἡ τῶν κακῶν M; ἦν λύσις τῶν κακῶν Curt. — 3. συνίσασι] G. et Curt; συνίασι (leg. συνιᾶσι) MS. — 3. ἡ] G. et Curt; καὶ M. — 7. μαινομένου] G. et Curt; γενομένου M. — 9. ἰασαίμεθα v; ἰάσαιτο Vat. — 9. περαιτέρω] v; παραιτέρω S. — 10. συντιθείημεν] G. et Curt; συνθείημεν M. — 11. τὴν λυγρὰν ἔριν τῇ ἀγαθῇ ἔριδι] Cf. Hesiod. Op. et D. v. 11 seqq.

οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος, ἀλλ' ἐπὶ γαῖαν
εἰσὶ δύω· τὴν μέν κεν ἐπαινήσειε νοήσας.
ἡ δ' ἐπιμωμητή.

13. ἣν οὐδὲ ἔριν δεῖ καλεῖν] G. et M; nisi quod M χρὴ habet pro δεῖ. A: ***quam quidem litem appellari non decet.*** Vulg. ἣν οὐ δεῖ ἔριν καλεῖν. — 14. θεοπειθῆ] G; vulg. θεοπαθῆ mero librariorum errore.

ἀπειθείας. Ταῦτα γὰρ οἶμαι πάντα διὰ τῶν προκειμένων ἐπῶν δηλοῦσθαι· τὸ μὲν τῆς αὐτεξουσίου πονηρίας διὰ τοῦ γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας, οὓς τλήμονας δεῖ καλεῖν καὶ ἀθλίους, ὅτι πρὸς αὐτοπροαίρετον κακίαν εἱλκύσθησαν· τὸ δὲ μηδαμῶς τούτους ἐπαΐειν τῶν καλῶν ἐθέλειν, διὰ τοῦ λέγειν, οἵ τ' ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶσιν, οὔτε κλύουσι· καὶ ὅτι δυνατὸν ἀπολυθῆναι τῶν αὐθαιρέτων κακῶν δηλοῖ τὸ λύσιν δὲ κακῶν παῦροι συνίσασιν, ὃ μεταξὺ παρεμβέβληται, ἵνα τῶν ἐφ' ἡμῖν δείξῃ τὴν λύσιν ὑπάρχουσαν, καὶ τὸν δεσμὸν ἐκ τοῦ ἑκουσίου ἠρτῆσθαι μηνύσῃ. Εἶτα ἐπισυνάπτει τὴν τυφλότητος καὶ κωφότητος ταῖς εἰς κακίαν ἐκπεσούσαις ψυχαῖς αἰτίαν, τοίη μοῖρα βροτῶν βλάπτει φρένας. Εἰς γὰρ ἄνοιαν καὶ ἀπροβούλευτον αἵρεσιν ὁ ἀπὸ τῶν Κρειττόνων χωρισμὸς ἄγει, ὃν διὰ τῆς λυγρᾶς μοίρας ᾐνίξατο, τῆς ποιούσης ἡμᾶς ἔξω τοῦ θείου χοροῦ τῇ πρὸς τὸ μερικὸν καὶ θνητὸν ζῷον νεύσει. Καὶ τὰ ἑπόμενα τῇ ἀβουλίᾳ παραδείκνυσι, καὶ πῶς ἑκούσια ἅμα καὶ ἀκούσια τὰ πλημμελήματα ἐκδιδάσκει, τῇ κατ' ἐπιπέδου κυλινδρικῇ κινήσει ἐοικέναι φήσας τὸν τῶν ἀνοήτων βίον, ὃς κύκλῳ ἅμα καὶ ἐπ' εὐθείας τότε κινεῖται· κύκλῳ μὲν δι' ἑαυτόν· ἐπ' εὐθείας δέ, διὰ τὴν πτῶσιν. Ὡς γὰρ ὁ κύλινδρος οὐ pag. 198

1. ἀπειθείας] v; ἀπαθείας S. — 1. πάντα] G. ab secunda manu et M; vulgo om. — 2. δηλοῦσθαι] G. et Curt; δείκνυσθαι M. — 5. εἱλκύσθησαν] G. in marg; sed in textu εἱλύνθησαν; ἡλκύσθησαν M; εἱλκίσθησαν Curt. — 8. τὸ] G. et Curt; om. M. — 9. συνίσασιν] G. et Curt; συνῆασι S; συνίασι (corr. συνιᾶσι) M. — 9. δείξῃ] M; δείξας G. et Curt. — 11. τυφλότητος] G. et Curt; τυφλότητα M. — 11. κωφότητος] G. et Curt; κουφότητος S; κωφότητα M. — 12. τοίη] Curt; τοίη γὰρ V et G in marg; τοίη γὰρ αὐτῶν M; τοίη γὰρ μοῖρα αὐτῶν S. — 13. εἰς] Curt. et G; τὴν M. — 15. ἔξω τοῦ θείου χ.] Cod. Med; vulgo cum S τοῦ articulus omittitur. Sed Cod. Med. male exhibet χώρου pro χοροῦ. Caeterum apud Platonem in Phaedro p. 247, quem locum citat Ashtonus; non legitur ἔξω χοροῦ τοῦ θείου, sed plerique codices exhibent ἔξω θείου χοροῦ, nonnulli, quos Stephanus secutus est, ἔξω χοροῦ θείου. — 16. τῇ] Curt; τῇ δὲ M. et 1pl. G; τῇδε SH. — 17. ἑκούσια — ἀκούσια] S; ἀκούσια — ἑκούσια v. — 19. φήσας] G. et Curt; φησὶ MCh. — 20. τότε κινεῖται] G; τότε, id est, cum in planitie versatur cylindrus. Vulgo ποτέ. — 21. πτῶσιν] Non male Ashtonus conjecit ὦσιν vel πρόωσιν. Nam ut cylindrus immoto axe suspensus si movetur, κύκλῳ κινεῖται δι' ἑαυτόν, ita in terram per declivia cadenti accedit alter motus ἐπ' εὐθείας διὰ τὴν πτῶσιν. At ubi ἡ κίνησις

καταχρατεῖ τῆς περὶ τὸν ἄξονα κυκλικῆς περιαγωγῆς ἀπὸ τῆς ὀρθότητος πλαγιασθείς, οὕτως οὐδὲ ψυχὴ τῆς τεύξεως τῶν ὄντως ἀγαθῶν τυγχάνει, τοῦ ὀρθοῦ λόγου καὶ τῆς πρὸς θεὸν συστάσεως ἀποπεσοῦσα· πλανᾶται δὲ περὶ τὰ δοκοῦντα ἀγαθά, καὶ ἐκφέρεται ἀπ᾽ εὐθείας ταῖς αἰσθητικαῖς προςπαθείαις κυλιο-

κατ᾽ ἐπιπέδου fit quod hic dicitur, ab impellentis manu proficiscitur ὦσις. Sic Aristot. probl. XVI, 5 διὰ τί ὁ μὲν κύλινδρος ὠσθεὶς εἰς εὐθύ τε φέρεται καὶ γράφει εὐθείας τοῖς ὁρίζουσιν αὐτὸν κύκλοις, ὁ δὲ κῶνος κύκλῳ περιφέρεται, τῆς κορυφῆς μενούσης, καὶ γράφει τὸν κύκλον τῷ ὁρίζοντι; κύκλῳ μὲν ἀμφότερα φέρεται, γράφει δ᾽ ἐν τῷ ἐπιπέδῳ ὁ μὲν κύλινδρος εὐθείας, ὁ δὲ κῶνος κύκλους, διὰ τὸ τοὺς μὲν ἐν τῷ κώνῳ ἀνίσους εἶναι κύκλους, φέρεσθαι δὲ ἀεὶ θᾶττον τὸν μείζονα τῶν περὶ τὸ αὐτὸ κέντρον κ. τ. λ. Epicurus apud Diog. Laert. X, 5 οἷός τε, φησίν, εἰμί, ἐὰν μὴ ὑμεῖς πρὸς ἐμὲ ἀφίκησθε, αὐτὸς τρικύλιστος, ὅπου ἂν ὑμεῖς καὶ Θεμίστα παρακαλῆτε, ὠθεῖσθαι. Ipsam rem illustrat Gellius lib. VI cap. 2 Chrysippi verbis, quem ait libro περὶ προνοίας quarto τὴν εἱμαρμένην definire φυσικὴν σύνταξιν τῶν ὅλων ἐξ ἀϊδίου τῶν ἑτέρων τοῖς ἑτέροις ἐπακολουθούντων, καὶ μετὰ πολὺ (lege κατὰ πάντα) μὲν οὖν ἀπαραβάτου οὔσης τῆς τοιαύτης συμπλοκῆς, hoc autem uti exemplo: „sicut lapidem cylindrum si per spatia terrae prona atque derupta jacias, causam quidem ei et initium praecipitantiae feceris, mox tamen ille praeceps volvitur, non quia tu id jam facis, sed quoniam ita sese modus ejus et formae volubilitas habet: sic ordo et ratio et necessitas fati genera ipsa et principia causarum movet, impetus vero consiliorum mentiumque nostrarum actionesque ipsas voluntas cujusque propria et animorum ingenia moderantur." Affert deinde Chrysippi sententiam iis quae antea dixerat congruentem: διὸ ὑπὸ τῶν Πυθαγορείων οὕτως εἴρηται. Γνώσῃ δ᾽ ἀνθρώπους αὐθαίρετα πήματ᾽ ἔχοντας, ὡς τῶν βλαβῶν ἑκάστοις παρ᾽ αὐτοῖς (corr. παρ᾽ αὐτοὺς i. e. καθ᾽ ὁρμὴν αὐτῶν cf. adn. ad p. 210) γινομένων καὶ καθ᾽ ὁρμὴν αὐτῶν ἁμαρτανόντων τε καὶ βλαπτομένων, καὶ κατὰ τὴν αὐτῶν διάνοιαν καὶ πρόθεσιν. Adde Ciceron. de Fato cap. 18 et 19. — 22. ὁ κύλινδρος οὐ καταχρατεῖ πλαγιασθεὶς] Cylindrus per loca plana volutus motum circa axem constanter servare non potest, cum motus ejus ἐπ᾽ εὐθείας turbatur, et impedita altera basi in obliquum vertitur, quia tunc quoque circularis ejus motus inhibetur et inaequalis conversio exsistit, adeo ut modo haec, modo illa basis alteri praecurrat et alias alio rapiatur (ἄλλοτ᾽ ἐπ᾽ ἄλλα φέρηται) lapis. — 2. τῶν ὄντως ἀγαθῶν τυγχάνει] G. et A: ***non consequitur vera bona***. Vulg. τῶν ὄντων ἀ. τ; Cod. Med. τῶν ἀγαθῶν τυγχ. — 3. τῆς πρὸς θεὸν συστάσεως ἀποπεσοῦσα] R, item A: ***a propinquitate dei decidit***. Vulg. cum S τῆς πρὸς θ. στάσεως ἀ. In Codd. Gall. eadem lectio est quae in libro Renaudotiano, nisi quod pro ἀποπεσοῦσα scribitur ἀποπέμπουσα. — 5. ἐκφέρεται ἀπ᾽ εὐθείας] Ita Dacerius flagitante loci sensu reposuit pro vulgata et Vindob. codicis scriptura ἐπ᾽ εὐθείας. Neque aliter in Veneto codice legisse constat Aurispam vertentem ***et voluptatum affectionibus circumvolutus a rectitudine discedit***. Respondet autem ἀπ᾽ εὐθείας superius dicto ἀπ᾽ ὀρθό-

μένη· δ διὰ τοῦ ἄλλοτ' ἐπ' ἄλλα φέρονται ἀπείρονα πήματ' ἔχοντες παρέστησεν. Ἐπειδὴ δὲ τῆς τὰς φρένας βλαπτούσης μοίρας, καὶ τοῦ χωρισμοῦ τοῦ ἀπὸ τῶν θείων, αἴτιον ἦν τὸ αὐτεξούσιον κίνημα παρὰ φύσιν διατεθέν· πῶς δεῖ καὶ τοῦτο κατευνάζειν, καὶ πρὸς θεὸν ἐπιστρέφειν, διὰ τῶν ἑξῆς δύο στίχων ἐδίδαξε· τὴν μὲν αὐτεξούσιον βλάβην οὕτω καταμηνύσας, λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε σύμφυτος, τὴν δὲ αὐτεξούσιον ἴασιν, ἣν οὐ δεῖ προςάγειν, εἴκοντα δὲ φεύγειν. Συνορῶν δέ, ὅτι προηγητος πλαγιασθείς. Illud vero sponte patet, arridere nobis non posse ἐπ' εὐθείας ἐκφέρεται ταῖς προςπαθείαις. Namque, ut Ashtonus jam observavit, qui recta progreditur, ἐπ' εὐθείας φέρεται, non ἐκφέρεται i. e. in transversum fertur; deinde αἱ αἰσθητικαὶ προςπάθειαι hominem non ἐπ' εὐθείας, sed ἀπ' εὐθείας ἐκφέρουσι. Neque dubium est quin ἐπ εὐθείας designet motionis per planum ὀρθότητα, cui opponitur πλαγιασμός, i. e. ἀπ' εὐθείας, siquidem, ut veteres ajunt, τὸ ὀρθὸν ἀντίκειται τῷ πλαγίῳ. Quae quamvis ita se habeant, tamen non irridendum erat Ashtono Bentleji acumen apud Needhamium. Ait autem princeps criticorum, cui placet lectio ἐκφέρεται ἐπ' εὐθείας ταῖς αἰσθητικαῖς προςπαθείαις, quam exhibent Codd. G, R et M (quamquam M. om. ταῖς): „cylindrus, cum δι' ἑαυτὸν circa axem suum κύκλῳ circumagitur, stabilis est: at cum ἐπ' εὐθείας et κατ' ἐπιπέδου volvitur, tum locum mutat et ἄλλοτ' ἐπ' ἄλλα fertur ἀπὸ τῆς ὀρθότητος πλαγιασθείς, a rectitudine sive stabili motu circum axem in transversum actus." Non vidit Bentlejus similitudinem illam ὡς γὰρ ὁ κύλινδρος κ. τ. λ. petitam esse a cylindri motione κατ' ἐπιπέδου, quae aperte in praecedentibus significatur et uberius ab Aristotele l. c. describitur, ideoque verba ὃς κύκλῳ ἅμα καὶ ἐπ' εὐθείας τότε κινεῖται, κύκλῳ μὲν δι' ἑαυτόν, ἐπ' εὐθείας δὲ διὰ τὴν πτῶσιν (ὦσιν) commodum sensum non habitura, si quis rectum cylindrum immoto axe pulsu externo agitari fingat, antequam obliquatus recta per planum auferatur. Caeterum ἐκφέρεσθαι dici pro *auferri*, *rapi*, *transversum agi* non est quod exemplis doceam. Cf. Thes. Par. III p. 626 seq. Rejecta hac Bentleji explicatione restat, ut de Codicis Medicei lectione loquar. Is pro ταῖς αἰσθητικαῖς προςπαθείαις κυλιομένη exhibet ἀ. π. κωλυομένη i. e. *sensuum affectionibus impeditus*. Quod etsi non deerunt qui tueantur, mihi tamen praestare videtur altera scriptura κυλιομένη a cylindri imagine ducta. Similiter Plato Phaedon. p. 82 ed. Steph. ψυχὴν ἐν πάσῃ ἀμαθίᾳ κυλινδουμένην dicit et Galen. vol. I p. 48 κυλινδεῖσθαι ἐλπίσι ματαίαις. Curterius mendose vulgavit ἐκφέρεται ἐπ' εὐθείαις καὶ αἰσθητικαῖς — κυλιουμένη.

2. δὲ] v; om. S. — 2. τῆς τὰς] M; τῆς τοὺς G; τῆς Curt. — 4. αὐτεξούσιον] v; αὐξούσιον S. — 4. δεῖ] Curt; δὲ GM. — 6. στίχων] Cod. M. et G; vulg. στοίχων. — 7. λυγρὴ] G. et Curt; λυγρὰ M. — 7. λέληθε] M. et Curt; λέλυθε G. — 9. προςάγειν] h. l. omnes codd., licet alibi S. προάγειν praebeat. Vid. adn. ad carm. v. 60. — 9. εἴκοντα δὲ φεύγειν] cedendo subterfugere et se subducere. Simplicius

γουμένως τῆς παρὰ τοῦ θεοῦ ἐπικουρίας χρῄζομεν πρὸς ἀποφυγὴν μὲν τῶν κακῶν, ἀνάκτησιν δὲ τοῦ ἀγαθῶν, ὥσπερ τινὰ εὐχὴν ἐπήγαγε, καὶ βοηθείας αἴτησιν, τὴν πρὸς τὸν Δί' ἐπιστροφήν.

XXV. 61—66.

Ζεῦ πάτερ, ἦ πολλῶν κε κακῶν λύσειας ἅπαντας,
εἰ πᾶσιν δείξαις, οἵῳ τῷ δαίμονι χρῶνται.
ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω,
ἐξακέσας ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.

pag. 200. Τὸν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ Παντὸς ἔθος ἦν τοῖς Πυθαγορείοις τῷ τοῦ Διὸς καὶ Ζηνὸς ὀνόματι σεμνύνειν. Δι' ὃν γὰρ τὸ εἶναι καὶ τὸ ζῆν τοῖς πᾶσιν ὑπάρχει, τοῦτον δίκαιον ἀπὸ τῆς ἐνεργείας ὀνομάζεσθαι. Κύριον γὰρ ὄντως ὄνομα θεοῦ, τὸ ταῖς ἐνεργείαις αὐτοῦ καὶ ταῖς ποιήσεσι μάλιστα πρέπον· τὰ δὲ ἐφ' ἡμῶν δοκοῦντα κύρια εἶναι τύχη καὶ προαίρεσις τίθεται μᾶλλον, ἢ ἡ τῆς οὐσίας οἰκειότης ἐξευρίσκει, ὡς ἔστιν ἐπὶ πολλῶν ἰδεῖν ὀνομάτων ἀλλοτρίως τισὶ κειμένων· οἷον, εἰ ὁ πονηρὸς τὸν τρόπον Ἀγάθων καλοῖτο, καὶ εἰ ὁ ἄθεος τὴν γνώμην Εὐσέβιος. Τὰ γὰρ τοιαῦτα οὐδὲν μετέχει τῆς τῶν ὀνομάτων ὀρθότητος, ὅτι μηδὲν τῆς οὐσίας ἢ τῆς ἐνεργείας παρίστησι τῶν πραγμάτων ἐκείνων, οἷς κεῖται ὀνόματα. Τὴν οὖν ὄντως ὀρθότητα τῶν ὀνομάτων ἐν τοῖς ἀϊδίοις τῶν πραγμάτων χρὴ

in Epictet. c. 6 pag. 50 ed. Salmas. κατ' ὀλίγον ἑαυτὸν ὑπεξαίρειν, — ὅπερ ὁ τῶν χρυσῶν ἐπῶν ποιητὴς εἶπεν, εἴκοντα χρὴ φεύγειν ἀπὸ τῶν τοιούτων. — 1. τοῦ] G. et Curt; om. M. — 3. αἴτησιν] M; vulg. αἰτίαν. — 3. Δί'] M; Δία G; Δΐ' Curt. N. Asht. — 6. ἦ πολλῶν κε] scripsi cum Brunckio; cf. supra ad carminis vs. 61—62 et infra adn. ad p. 158 (p. 204 ed. Needh.) Vulgo πολλῶν γε; S. πολλῶν τε. — 7. εἰ] v; ἢ S. — 12. τοῦδε] G. et Curt; τοῦτε M. — 13. Πυθαγορείοις] v; Πυθαγορίοις S. — 16. αὐτοῦ] M. Ipl. G. et A: ***proprium certe nomen dei ab ejus operibus et creaturis***. Vulg. om. — 17. ἐφ' ἡμῶν] MS; vulgo τὰ ἐφ' ἡμῖν, quod ferri nequit. Cf. adn. ad p. 149. — 20. Ἀγάθων] M. et R; ἀγαθῶν G; ἀγαθὸς Curt. — 20. καλοῖτο] SMCh; καλείτο Curt; καλεῖται N. Asht. — 20. εἰ] v; om. V. — 21. Εὐσέβιος] VMh Ipl. G. et R; εὐσεβῶς M; Εὐσέβειος S; εὐσεβής Curt. — 24. χρὴ] Curt; προσήκει MIplGSCh.

ζητεῖν· καὶ τούτων ἐν τοῖς θείοις· καὶ τῶν θείων ἐν τοῖς ἀρίστοις. Ὅθεν καὶ τὸ τοῦ Διὸς ὄνομα σύμβολόν ἐστι καὶ εἰκὼν ἐν φωνῇ δημιουργικῆς οὐσίας, τῷ τοὺς πρώτους θεμένους τοῖς πράγμασι τὰ ὀνόματα, διὰ σοφίας ὑπερβολήν, ὥσπερ τινὰς ἀγαλματοποιοὺς ἀρίστους, διὰ τῶν ὀνομάτων, ὡς δι' εἰκόνων, ἐμφανίσαι αὐτῶν τὰς δυνάμεις. Τὰ γὰρ ἐν τῇ φωνῇ ὀνόματα σύμβολα τῶν ἐν τῇ ψυχῇ νοήσεων ἀπειργάζοντο, τὰς δὲ νοήσεις αὐτὰς γνωστικὰς εἰκόνας τῶν νοηθέντων πραγμάτων ἐποιοῦντο. Τῇ γὰρ πρὸς τὰ νοητὰ ἐπιστροφῇ θεωρίας πλησθέντες, κἀκεῖθεν ἐγκύμονες γενόμενοι νοερῶν ὠδίνων, εἰς φωνὰς ἤδη προϊόντες τοιαῦτα ἐτίθεντο τοῖς οὖσι τὰ ὀνόματα, ἃ δι' αὐτῆς τῆς φωνῆς, καὶ τῶν εἰς τὴν ταύτης ἐκφώνησιν παραληφθέντων στοιχείων, ὡς οἷόν τε ἦν, ἀπετύπου τῶν ὀνομαζομένων τὰ εἴδη, καὶ ἐπέστρεφε πρὸς αὐτὰς τὰς οὐσίας τοὺς ὀρθῶς αὐτῶν κατακούοντας· pag. 202.
ὥστε γίνεσθαι τὸ πέρας τῆς ἐκείνων θεωρίας ἀρχὴν ἡμῖν πρὸς εὕρεσιν τῆς τῶν πραγμάτων νοήσεως. Οὕτω μὲν οὖν ὁ δημιουργὸς αὐτοῖς πάλαι μὲν τετρακτύς, νῦν δὲ Ζεὺς πατήρ, δι' ἃς

